AB

52 14/9,35

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0001-3

00

1387

N

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0002-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0003-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0004-0

# EXCERPTA
EX
# HISTORICIS GRAECIS

*LIPSIAE*

EX OFFICINA LANGENHEMIA.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0005-6

E BIBLIOTHECA
LYCEI
WERNIGERO-
DANI.

L 206

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0006-1

# E POLYBII LIBRO VI

## DE FORMA REIPVBLICAE ROMANAE

Τῶν μὲν Ἑλληνικῶν πολιτευμάτων ὅσα πολλάκις μὲν ηὔξηται, πολλάκις δὲ τῆς εἰς τἀναντία μεταβολῆς ὁλοσχερῶς πεῖραν εἴληφε, ῥαδίαν εἶναι συμβαίνει καὶ τὴν ὑπὲρ τῶν προγεγονότων ἐξήγησιν, καὶ τὴν ὑπὲρ τοῦ μέλλοντος ἀπόφασιν· τό τε γὰρ ἐξαγγεῖλαι τὰ γινωσκόμενα, ῥᾴδιον· τό τε προειπεῖν ὑπὲρ τοῦ μέλλοντος, στοχαζόμενον ἐκ τῶν ἤδη γεγονότων, εὐμαρές. Περὶ δὲ τῆς Ῥωμαίων οὐδ' ὅλως εὐχερὲς, οὔτε περὶ τῶν παρόντων ἐξηγήσασθαι, διὰ τὴν ποικιλίαν τῆς πολιτείας, οὔτε περὶ τοῦ μέλλοντος προειπεῖν, διὰ τὴν ἄγνοιαν τῶν προγεγονότων περὶ αὐτοὺς ἰδιωμάτων, καὶ κοινῇ, καὶ κατ' ἰδίαν. Διόπερ οὐ τῆς τυχούσης ἐπιστάσεως προσδεῖται καὶ θεωρίας, εἰ μέλλοι τις τὰ διαφέροντα καθαρίως ἐν αὐτῇ συνόψεσθαι. Συμβαίνει δὴ, τοὺς πλείστους τῶν βουλομένων διδασκαλικῶς ἡμῖν ὑποδεικνύειν περὶ τῶν τοιούτων, τρία γένη λέγειν πολιτειῶν, ὧν τὸ μὲν καλοῦσι βασι-

λείαν, τὸ δ᾽ ἀριστοκρατίαν, τὸ δὲ τρίτον δημοκρατίαν. Δοκεῖ δέ μοι πάνυ τις εἰκότως ἂν ἐπαπορῆσαι πρὸς αὐτοὺς, πότερον ὡς μόνας ταύτας, ἢ καὶ νὴ Δί᾽ ὡς ἀρίστας ἡμῖν εἰσηγοῦνται τῶν πολιτειῶν· κατ᾽ ἀμφότερα γὰρ ἀγνοεῖν μοι δοκοῦσι. Δῆλον γὰρ, ὡς ἀρίστην μὲν ἡγητέον πολιτείαν τὴν ἐκ πάντων τῶν προειρημένων ἰδιωμάτων συνεστῶσαν· τούτου γὰρ τοῦ μέρους οὐ λόγῳ μόνον, ἀλλ᾽ ἔργῳ πεῖραν εἰλήφαμεν, Λυκούργου συστήσαντος πρώτου κατὰ τοῦτον τὸν τρόπον τὸ Λακεδαιμονίων πολίτευμα. Καί τοι οὐδ᾽ ὡς μόνας ταύτας προσδεκτέον· καὶ γὰρ μοναρχικὰς καὶ τυραννικὰς ἤδη τινὰς τεθεάμεθα πολιτείας, αἳ, πλεῖστον διαφέρουσαι βασιλείας, παραπλήσιον ἔχειν τι ταύτῃ δοκοῦσιν, ᾗ καὶ συμψεύδονται καὶ συγχρῶνται πάντες οἱ μόναρχοι, καθ᾽ ὅσον οἷοί τ᾽ εἰσὶ, τῷ τῆς βασιλείας ὀνόματι. Καὶ μὴν ὀλιγαρχικὰ πολιτεύματα καὶ πλείω γέγονε, δοκοῦντα παρόμοιον ἔχειν τι τοῖς ἀριστοκρατικοῖς, ἃ πλεῖστον, ὡς ἔπος εἰπεῖν, διεστᾶσιν. ὁ δ᾽ αὐτὸς λόγος καὶ περὶ δημοκρατίας.

2. Ὅτι δ᾽ ἀληθές ἐστι τὸ λεγόμενον, ἐκ τούτων συμφανές. Οὔτε γὰρ πᾶσαν δήπου μοναρχίαν εὐθέως βασιλείαν ῥητέον· ἀλλὰ μόνην τὴν ἐξ ἑκόντων συγχωρουμένην, καὶ τῇ γνώμῃ τὸ πλεῖον, ἢ φόβῳ καὶ βίᾳ κυβερνωμένην. Οὐδὲ μὴν πᾶσαν ὀλιγαρχίαν ἀριστοκρατίαν νομιστέον· ἀλλὰ ταύτην, ἥτις ἂν κατ᾽

ἐκλογὴν

ἐκλογὴν ὑπὸ τῶν δικαιοτάτων καὶ φρονιμωτάτων ἀνδρῶν βραβεύηται. Παραπλησίως οὐδὲ δημοκρατίαν, ἐν ᾗ πᾶν πλῆθος κύριόν ἐστι ποιεῖν, ὅ τι ποτ' ἂν αὐτὸ βουληθῇ καὶ πρόθηται· παρ' ᾧ δὲ πάτριόν ἐστι καὶ σύνηθες, θεοὺς σέβεσθαι, γονεῖς θεραπεύειν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πείθεσθαι, ἀλλὰ παρὰ τοῖς τοιούτοις συστήμασιν ὅταν τὸ τοῖς πλείοσι δόξαν νικᾷ, τοῦτο δεῖ καλεῖν δημοκρατίαν. Διὸ καὶ γένη μὲν ἓξ εἶναι ῥητέον πολιτειῶν· τρία μὲν, ἃ πάντες θρυλλοῦσι, καὶ νῦν προείρηται· τρία δὲ τούτοις συμφυῆ, λέγω δὲ μοναρχίαν, ὀλιγαρχίαν, ὀχλοκρατίαν. Πρώτη μὲν οὖν ἀκατασκεύως καὶ φυσικῶς συνίσταται μοναρχία· ταύτῃ δ' ἕπεται καὶ ἐκ ταύτης γεννᾶται μετὰ κατασκευῆς καὶ διορθώσεως βασιλεία· μεταβαλλούσης δὲ ταύτης εἰς τὰ συμφυῆ κακὰ, λέγω δὴ εἰς τυραννίδα, αὖθις ἐκ τῆς τούτων καταλύσεως ἀριστοκρατία φύεται· καὶ μὴν ταύτης εἰς ὀλιγαρχίαν ἐκτραπείσης κατὰ φύσιν, τοῦ δὲ πλήθους ὀργῇ μετελθόντος τὰς τῶν προεστώτων ἀδικίας, γεννᾶται δῆμος, ἐκ δὲ τούτου πάλιν ὕβρεως καὶ παρανομίας ἀποπληροῦται σὺν χρόνοις ὀχλοκρατία. Γνοίη δ' ἄν τις σαφέστατα περὶ τούτων, ὡς ἀληθῶς ἐστιν, οἷα δὴ νῦν εἶπον, ἐπὶ τὰς ἑκάστων κατὰ φύσιν ἀρχὰς καὶ γενέσεις καὶ μεταβολὰς ἐπιστήσας· ὁ γὰρ συνιδὼν ἕκαστον αὐτῶν, ὡς φύεται, μόνος ἂν οὗτος δύναιτο συνιδεῖν καὶ τὴν αὔξη-

σιν, καὶ τὴν ἀκμὴν, καὶ τὴν μεταβολὴν ἑκάστων, καὶ τὸ τέλος, πότε, καὶ πῶς, καὶ ποῦ καταντήσει πάλιν. Μάλιστα δὲ ἐπὶ τῆς Ῥωμαίων πολιτείας τοῦτον ἁρμόσειν τὸν τρόπον ὑπείληφα τῆς ἐξηγήσεως, διὰ τὸ κατὰ φύσιν αὐτὴν ἀπ' ἀρχῆς εἰληφέναι τήν τε σύστασιν καὶ αὔξησιν.

3. Ἀκριβέστερον μὲν οὖν ἴσως ὁ περὶ τῆς κατὰ φύσιν μεταβολῆς τῶν πολιτειῶν εἰς ἀλλήλας διευκρινεῖται λόγος παρὰ Πλάτωνι, καί τισιν ἑτέροις τῶν φιλοσόφων· ποικίλος δὲ ὢν, καὶ διὰ πλειόνων λεγόμενος, ὀλίγοις ἐφικτός ἐστιν. Διόπερ, ὅσον ἀνήκειν ὑπολαμβάνομεν αὐτοῦ πρὸς τὴν πραγματικὴν ἱστορίαν, καὶ τὴν κοινὴν ἐπίνοιαν, τοῦτο πειρασόμεθα κεφαλαιωδῶς διελθεῖν· καὶ γὰρ, ἂν ἐλλείπειν τι δόξῃ διὰ τῆς καθολικῆς ἐμφάσεως, ὁ κατὰ μέρος λόγος τῶν ἑξῆς ῥηθησομένων ἱκανὴν ἀνταπόδοσιν ποιήσει τῶν νῦν ἐπαπορηθέντων. Ποίας οὖν ἀρχὰς λέγω, καὶ πόθεν φημὶ φύεσθαι τὰς πολιτείας πρῶτον; Ὅταν ἢ διὰ κατακλυσμοὺς, ἢ διὰ λοιμικὰς περιστάσεις, ἢ δι' ἀφορίας καρπῶν, ἢδ' ἄλλας τοιαύτας αἰτίας, φθορὰ γένηται τοῦ τῶν ἀνθρώπων γένους, οἵας ἤδη γεγονέναι παρειλήφαμεν, καὶ πάλιν πολλάκις ἔσεσθαι ὁ λόγος αἱρεῖ· τότε δὴ, συμφθειρομένων πάντων τῶν ἐπιτηδευμάτων καὶ τεχνῶν, ὅταν ἐκ τῶν περιλειφθέντων οἱονεὶ σπερμάτων αὖθις αὐξηθῇ σὺν χρόνῳ πλῆθος ἀνθρώπων, τότε δήπου,

καθάπερ ἐπὶ τῶν ἄλλων ζώων, καὶ [ἐπὶ [a]] τούτων συναθροιζομένων, ὅπερ εἰκὸς, κατὰ [b]) τοῦτο τὸ ὁμόφυλον συναγελάζεσθαι διὰ τὴν τῆς φύσεως ἀσθένειαν ἀνάγκη, [c]) τὸν τῇ σωματικῇ ῥώμῃ καὶ τῇ ψυχικῇ τόλμῃ διαφέροντα τούτων ἡγεῖσθαι καὶ κρατεῖν· καθάπερ καὶ ἐπὶ τῶν ἄλλων γενῶν τῶν ἀδοξοποιήτων ζώων [θεωροῦμεν] τοῦτο χρὴ φύσεως ἔργον ἀληθινώτατον νομίζειν, παρ' οἷς ὁμολογουμένως τοὺς ἰσχυροτάτους ὁρῶμεν ἡγουμένους, λέγω δὲ ταύρους, κάπρους, ἀλεκτρυόνας, τὰ τούτοις παραπλήσια. Τὰς μὲν οὖν ἀρχὰς, εἰκὸς, τοιούτους εἶναι καὶ τοὺς τῶν ἀνθρώπων βίους ζωηδὸν συναθροιζομένων, τοῖς ἀλκιμωτάτοις καὶ δυναμικωτάτοις ἑπομένων, οἷς ὅρος μέν ἐστι τῆς ἀρχῆς ἰσχὺς, ὄνομα δ' ἂν εἴποι τις μοναρχίαν. Ἐπειδὰν δὲ τοῖς συστήμασι διὰ τὸν χρόνον ὑπογένηται συντροφία καὶ συνήθεια, τότε ἀρχὴ βασιλείας φύεται· καὶ τότε πρώτως ἔννοια γίνεται τοῦ καλοῦ καὶ δικαίου τοῖς ἀνθρώποις, ὁμοίως δὲ καὶ τῶν ἐναντίων τούτοις.

4. Ὁ δὲ τρόπος τῆς ἀρχῆς καὶ τῆς γενέσεως τῶν εἰρημένων τοιόσδε. Πάντων γὰρ πρὸς τὰς συνουσίας ὁρμώντων κατὰ φύσιν, ἐκ δὲ τούτων παιδοποιΐας ἀποτελουμένης, ὁπότε



a) Videtur delendum.
b) An καὶ?
c) An καὶ addendum?

τις τῶν ἐκτραφέντων, εἰς ἡλικίαν ἱκόμενος, μὴ νέμοι χάριν, μηδ᾽ ἀμύναι τούτοις, οἷς ἐκτραφείη, ἀλλά που τἀναντία κακῶς λέγειν ἢ δρᾷν τούτοις εγχειροίη δῆλον, ὡς δυσαρεστεῖν καὶ προσκόπτειν εικὸς τοὺς ἐνόντας, καὶ συνιδόντας τὴν γεγενημένην ἐκ τῶν γεννησάντων ἐπιμέλειαν καὶ κακοπάθειαν περὶ τὰ τέκνα καὶ τὴν τούτων θεραπείαν καὶ τροφήν. Τοῦ γὰρ γένους τῶν ἀνθρώπων ταύτῃ διαφέροντος τῶν ἄλλων ζώων, ᾗ μόνοις αὐτοῖς μέτεστι νοῦ καὶ λογισμοῦ· φανερὸν, ὡς οὐκ εικὸς παρατρέχειν αὐτοὺς τὴν προειρημένην διαφοράν. καθάπερ ἐπὶ τῶν ἄλλων ζώων, ἀλλ᾽ επισημαίνεσθαι τὸ γινόμενον, καὶ δυσαρεστεῖσθαι τοῖς παροῦσι, προορωμένους τὸ μέλλον, καὶ συλλογιζομένους, ὅτι τὸ παραπλήσιον ἑκάστοις αὐτῶν συγκυρήσει. Καὶ μὴν ὅταν που πάλιν ἕτερος, ὑπὸ θατέρου τυχὼν ἐπικουρίας ἢ βοηθείας ἐν τοῖς δεινοῖς, μὴ νέμῃ τῷ σώσαντι χάριν, ἀλλά ποτε καὶ βλάπτειν ἐγχειρῇ τοῦτον· φανερὸν, ὡς εἰκὸς, τῷ τοιούτῳ δυσαρεστεῖσθαι καὶ προσκόπτειν τοὺς εἰδότας, συναγανακτοῦντας μὲν τῷ πέλας, ἀναφέροντας δ᾽ ἐπ᾽ αὐτοὺς τὸ παραπλήσιον. Ἐξ ὧν ὑπογίγνεταί τις ἔννοια παρ᾽ ἑκάστῳ τῆς τοῦ καθήκοντος δυνάμεως καὶ θεωρία, ὅπερ ἐστὶν ἀρχὴ καὶ τέλος δικαιοσύνης. Ὁμοίως πάλιν, ὅταν ἀμύνῃ μέν τις πρὸ πάντων ἐν τοῖς δεινοῖς, ὑφίστηται δὲ καὶ μένῃ τὰς ἐπιφορὰς τῶν ἀλκιμωτάτων ζώων, εἰκὸς μὲν, τὸν τοιοῦτον ὑπὸ τοῦ πλήθους ἐπισημα-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0012-4

σημασίας τυγχάνειν εὐνοϊκῆς καὶ προςατικῆς, τὸν δὲ τἀναντία τούτῳ πράττοντα καταγνώσεως καὶ προςκοπῆς. Ἐξ οὗ πάλιν εὔλογον, ὑπογίνεσθαί τινα θεωρίαν παρὰ τοῖς πολλοῖς αἰσχροῦ καὶ καλοῦ, καὶ τῆς τούτων πρὸς ἄλληλα διαφορᾶς καὶ τὸ μὲν ζήλου καὶ μιμήσεως τυγχάνειν διὰ τὸ συμφέρον, τὸ δὲ φυγῆς. Ὅταν ἐν οἷς [d]) ὁ προεςὼς καὶ τὴν μεγίςην δύναμιν ἔχων ἀεὶ συνεπισχύῃ τοῖς προειρημένοις κατὰ τὰς τῶν πολλῶν διαλέξεις, καὶ δόξῃ τοῖς ὑποταττομένοις διανεμητικὸς εἶναι τοῦ κατ' ἀξίαν ἑκάςοις· οὐκέτι τὴν βίαν δεδιότες, τῇ δὲ γνώμῃ τὸ πλεῖον εὐδοκοῦντες ὑποτάττονται, καὶ συσσώζουσι τὴν ἀρχὴν αὐτοῦ, κἂν ὅλως ᾖ γηραιὸς, ὁμοθυμαδὸν ἐπαμύνοντες καὶ διαγωνιζόμενοι πρὸς τοὺς ἐπιβουλεύοντας αὐτοῦ τῇ δυναςείᾳ· καὶ δὴ τῷ τοιούτῳ τρόπῳ βασιλεὺς ἐκ μονάρχου λανθάνει γενόμενος, ὅταν παρὰ τοῦ θυμοῦ καὶ τῆς ἰσχύος μεταλάβῃ τὴν ἡγεμονίαν ὁ λογισμός.

5. Αὕτη καλοῦ καὶ δικαίου πρώτη παρ' ἀνθρώποις κατὰ φύσιν ἔννοια, καὶ τῶν ἐναντίων τούτοις· αὕτη βασιλειας ἀληθινῆς ἀρχὴ καὶ γένεσις. Οὐ γὰρ μόνον αὐτοῖς, ἀλλὰ καὶ τοῖς ἐκ τούτων ἐπὶ πολὺ διαφυλάττουσι τὰς ἀρχὰς, πεπεισμένοι τοὺς ἐκ τοιούτων γεγονότας, καὶ τραφέντας ὑπὸ τοιούτοις, παραπλησίως ἕξειν καὶ τὰς προαιρέσεις. Ἐὰν δέ



d) ἐν οἷς, verba suspecta.

ποτε τοῖς ἐκγόνοις δυσαρεστήσωσι, ποιοῦνται μετὰ ταῦτα τὴν αἵρεσιν τῶν ἀρχόντων καὶ βασιλέων, οὐκέτι κατὰ τὰς σωματικὰς καὶ θυμικὰς δυνάμεις, ἀλλὰ καὶ κατὰ τὰς τῆς γνώμης καὶ τοῦ λογισμοῦ διαφορὰς, πεῖραν εἰληφότες ἐπ' αὐτῶν τῶν ἔργων τῆς ἐξ ἀμφοῖν παραλλαγῆς. Τὰ μὲν οὖν παλαιὸν ἐνεγήρασκον ταῖς βασιλείαις οἱ κριθέντες ἅπαξ, καὶ τυχόντες τῆς ἐξουσίας ταύτης, τόπους τε διαφέροντας ὀχυρούμενοι καὶ τειχίζοντες, καὶ χώραν κατακτώμενοι, τὸ μὲν τῆς ἀσφαλείας χάριν, τὸ δὲ τῆς δαψιλείας τῶν ἐπιτηδείων τοῖς ὑποτεταγμένοις· ἅμα δὲ περὶ ταῦτα σπουδάζοντες ἐκτὸς ἦσαν πάσης διαβολῆς καὶ φθόνου, διὰ τὸ μήτε περὶ τὴν ἐσθῆτα μεγάλας ποιεῖσθαι τὰς παραλλαγὰς, μήτε περὶ τὴν βρῶσιν καὶ πόσιν, ἀλλὰ παραπλήσιον ἔχειν τὴν βιοτείαν τοῖς ἄλλοις, ὁμόσε ποιούμενοι τοῖς πολλοῖς ἀεὶ τὴν δίαιταν. Ἐπεὶ δ' ἐκ διαδοχῆς καὶ κατὰ γένος τὰς ἀρχὰς παραλαμβάνοντες, ἕτοιμα μὲν εἶχον ἤδη τὰ πρὸς τὴν ἀσφάλειαν, ἕτοιμα δὲ καὶ πλείω τῶν ἱκανῶν τὰ πρὸς τὴν τροφήν· τότε δὴ ταῖς ἐπιθυμίαις ἑπόμενοι διὰ τὴν περιουσίαν, ἐξάλλους μὲν ἐσθῆτας ὑπέλαβον δεῖν ἔχειν τοὺς ἡγουμένους τῶν ὑποταττομένων, ἐξάλλους δὲ καὶ ποικίλας τὰς περὶ τὴν τροφὴν ἀπολαύσεις καὶ παρασκευὰς, ἀναντιῤῥήτους δὲ καὶ παρὰ τῶν μὴ προσηκόντων τὰς τῶν ἀφροδισίων χρείας καὶ συνουσίας. Ἐφ' οἷς μὲν

φθόνου

φθόνου γενομένου καὶ προσκοπῆς, ἐφ' οἷς δὲ μίσους ἐκκαιομένου καὶ δυσμενικῆς ὀργῆς, ἐγένετο μὲν ἐκ τῆς βασιλείας τυραννίς· ἀρχὴ δὲ καταλύσεως ἐγεννᾶτο, καὶ σύστασις ἐπιβουλῆς τοῖς ἡγουμένοις, ἣν οὐκ ἐκ τῶν χειρίστων, ἀλλ' ἐκ τῶν γενναιοτάτων καὶ μεγαλοψυχωτάτων, ἔτι δὲ θαῤῥαλεωτάτων ἀνδρῶν συνέβαινε γενέσθαι, διὰ τὸ τοὺς τοιούτους ἥκιστα δύνασθαι φέρειν τὰς τῶν ἐφεστώτων ὕβρεις.

6. Τοῦ δὲ πλήθους, ὅταν λάβῃ προστάτας, συνεπισχύοντος κατὰ τῶν ἡγουμένων διὰ τὰς προειρημένας αἰτίας· τὸ μὲν τῆς βασιλείας καὶ μοναρχίας εἶδος ἄρδην ἀνῃρεῖτο, τὸ δὲ τῆς ἀριστοκρατίας αὖθις ἀρχὴν ἐλάμβανε καὶ γένεσιν. Τοῖς γὰρ καταλύσασι τοὺς μονάρχους οἱονεὶ χάριν ἐκ χειρὸς ἀποδιδόντες οἱ πολλοὶ, τούτοις ἐχρῶντο προστάταις, καὶ τούτοις ἐπέτρεπον περὶ σφῶν. Οἱ δὲ τὸ μὲν πρῶτον ἀσμενίζοντες τὴν ἐπιτροπὴν, οὐδὲν προὐργιαίτερον ἐποιοῦντο τοῦ κοινῇ συμφέροντος, καὶ κηδεμονικῶς καὶ φυλακτικῶς ἕκαστα χειρίζοντες, καὶ τοὺς κατ' ἰδίαν, καὶ τὰ κοινὰ τοῦ πλήθους. Ὅτε δὲ διαδέξαιντο πάλιν παῖδες παρὰ πατέρων τὴν αὐτὴν ἐξουσίαν, ἄπειροι μὲν ὄντες κακῶν, ἄπειροι δὲ καθόλου πολιτικῆς ἰσότητος καὶ παῤῥησίας, τεθραμμένοι δ' ἐξ ἀρχῆς ἐν ταῖς τῶν πατέρων ἐξουσίαις καὶ προαγωγαῖς· ὁρμήσαντες οἱ μὲν ἐπὶ πλεονεξίαν καὶ φιλαργυρίαν ἄδικον,

οἱ δ' ἐπὶ μέθας καὶ τὰς ἅμα ταύταις ἀπλήστους εὐωχίας, οἱ δ' ἐπὶ τὰς τῶν γυναικῶν ὕβρεις καὶ παίδων ἁρπαγάς, μετέστησαν μὲν τὴν ἀριστοκρατίαν εἰς ὀλιγαρχίαν, ταχὺ δὲ κατεσκεύασαν ἐν τοῖς πλήθεσι πάλιν τὰ παραπλήσια τοῖς ἄρτι ῥηθεῖσι. Διὸ καὶ παραπλήσιον συνέβαινε τὸ τέλος αὐτῶν γίνεσθαι τῆς καταστροφῆς τοῖς περὶ τοὺς τυράννους ἀτυχήμασι.

7. Ἐπειδὰν γάρ τις, συνθεασάμενος τὸν φθόνον καὶ τὸ μῖσος κατ' αὐτῶν, τὸ παρὰ τοῖς πολίταις ὑπάρχον, κἄπειτα θαῤῥήσῃ λέγειν ἢ πράττειν τι κατὰ τῶν προεστώτων, πᾶν ἕτοιμον καὶ συνεργὸν λαμβάνει τὸ πλῆθος. Λοιπὸν, οὓς μὲν φονεύσαντες, — — — — οὔτε βασιλέα προΐστασθαι τολμῶσιν, ἔτι δεδιότες τὴν τῶν προτέρων ἀδικίαν, οὔτε πλείοσιν ἐπιτρέπειν τὰ κοινὰ θαῤῥοῦσι, παρὰ πόδας αὐτοῖς οὔσης τῆς πρότερον ἀγνοίας· μόνης δέ σφισι καταλειπομένης ἐλπίδος ἀκεραίου τῆς ἐν αὑτοῖς, ἐπὶ ταύτην καταφέρονται, καὶ τὴν μὲν πολιτείαν ἐξ ὀλιγαρχικῆς δημοκρατίαν ἐποίησαν, τὴν δὲ τῶν κοινῶν πρόνοιαν καὶ πίστιν εἰς σφᾶς αὐτοὺς ἀνέλαβον. Καὶ μέχρι μὲν ἂν ἔτι σώζωνταί τινες τῶν ὑπεροχῆς καὶ δυναστείας πεῖραν εἰληφότων, ἀσμενίζοντες τῇ παρούσῃ καταστάσει περὶ πλείστου ποιοῦνται τὴν ἰσηγορίαν καὶ τὴν παῤῥησίαν· ὅταν δ' ἐπιγένωνται νέοι, καὶ παισὶ παίδων πάλιν ἡ δημοκρατία παραδοθῇ, τότ' οὐκέτι διὰ τὸ σύν-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0016-7

ηθες ἐν μεγάλῳ τιθέμενοι τὸ τῆς ἰσηγορίας καὶ παῤῥησίας, ζητοῦσι πλέον ἔχειν τῶν πολλῶν· (μάλιστα δ᾽ εἰς τοῦτ᾽ ἐμπίπτουσιν οἱ ταῖς οὐσίαις ὑπερέχοντες) λοιπὸν, ὅταν ὁρμήσωσιν ἐπὶ τὸ φιλαρχεῖν, καὶ μὴ δύνωνται δι᾽ αὑτῶν καὶ διὰ τῆς ἰδίας ἀρετῆς τυγχάνειν τούτων, διαφθείρουσι τὰς οὐσίας, δελεάζοντες καὶ λυμαινόμενοι τὰ πλήθη κατὰ πάντα τρόπον. Ἐξ ὧν, ὅταν ἅπαξ δωροδόκους καὶ δωροφάγους κατασκευάσωσι τοὺς πολλοὺς διὰ τὴν ἄφρονα δοξοφαγίαν, τότ᾽ ἤδη πάλιν τὸ μὲν τῆς δημοκρατίας καταλύεται, μεθίσαται δ᾽ εἰς βίαν καὶ χειροκρατίαν ἡ δημοκρατία. Συνειθισμένον γὰρ τὸ πλῆθος ἐσθίειν τὰ ἀλλότρια, καὶ τὰς ἐλπίδας ἔχειν τοῦ ζῆν ἐπὶ τοῖς τῶν πέλας, ὅταν λάβῃ προστάτην μεγαλόφρονα καὶ τολμηρὸν, ἐκκλειόμενον δὲ διὰ πενίαν τῶν ἐν τῇ πολιτείᾳ τιμίων, τότε δὴ χειροκρατίαν ἀποτελεῖ, καὶ τότε συναθροιζόμενον ποιεῖ σφαγὰς, φυγὰς, γῆς ἀναδασμοὺς, ἕως ἂν ἀποτεθηριωμένον πάλιν εὕρῃ δεσπότην καὶ μόναρχον. Αὕτη πολιτειῶν ἀνακύκλωσις, αὕτη φύσεως οἰκονομία, καθ᾽ ἣν μεταβάλλει καὶ μεθίσαται, καὶ πάλιν εἰς αὐτὰ καταντᾷ τὰ κατὰ τὰς πολιτείας. Ταῦτά τις σαφῶς ἐπεγνωκὼς, χρόνοις μὲν ἴσως διαμαρτήσεται, λέγων ὑπὲρ τοῦ μέλλοντος περὶ πολιτείας· τὸ δὲ, ποῦ τῆς αὐξήσεως ἕκαστόν ἐστιν ἢ τῆς φθορᾶς, ἢ ποῦ μεταστήσεται, σπανίως ἂν διασφάλλοιτο, χωρὶς ὀργῆς ἀφθόνου ποιούμενος τὴν ἀπόφασιν.

Καὶ

Καὶ μὴν περί γε τῆς Ῥωμαίων πολιτείας κατὰ ταύτην τὴν ἐπίςασιν μάλις' ἂν ἔλθοιμεν εἰς γνῶσιν καὶ τῆς συςάσεως, καὶ τῆς αὐξήσεως, καὶ τῆς ἀκμῆς, ὁμοίως δὲ καὶ τῆς εἰς τοὔμπαλιν ἐσομένης ἐκ τούτων μεταβολῆς. Εἰ γάρ τινα καὶ ἑτέραν πολιτείαν, ὡς ἀρτίως εἶπα, καὶ ταύτην συμβαίνει, κατὰ φύσιν ἀπ' ἀρχῆς ἔχουσαν τὴν σύςασιν καὶ τὴν αὔξησιν, κατὰ φύσιν ἕξειν καὶ τὴν εἰς τἀναντία μεταβολήν· σκοπεῖν δ' ἔςαι διὰ τῶν μετὰ ταῦτα ῥηθησομένων.

9. Ἦν μὲν δὴ τρία μέρη τὰ κρατοῦντα τῆς πολιτείας, ἅπερ εἶπα πρότερον ἅπαντα. Οὕτω δὲ πάντα κατὰ μέρος ἴσως καὶ πρεπόντως συνετέτακτο παρὰ τοῖς Ῥωμαίοις, ὥςε μηδένα ποτ' ἂν δύνασθαι εἰπεῖν βεβαίως, μηδὲ τῶν ἐγχωρίων, πότερ' ἀριςοκρατικὸν τὸ πολίτευμα σύμπαν, ἢ δημοκρατικόν, ἢ μοναρχικόν. Καὶ τοῦτ' εἰκότως ἦν πάσχειν. Ὅτε μὲν γὰρ εἰς τὴν τῶν ὑπάτων ἀτενίσαιμεν ἐξουσίαν, τελείως μοναρχικὸν ἐφαίνετ' εἶναι καὶ βασιλικόν· ὅτε δὲ εἰς τὴν τῆς συγκλήτου, πάλιν ἀριςοκρατικόν· καὶ μὴν εἰ τὴν τῶν πολλῶν ἐξουσίαν

τείαν θεωροίη τις, ἐδόκει σαφῶς εἶναι δημοκρατικόν. Ὧν δ' ἕκαστον εἶδος μερῶν τῆς πολιτείας ἐπεκράτει, καὶ τότε, καὶ νῦν ἔτι, πλὴν ὀλίγων τινῶν, ταῦτ' ἐστίν.

10. Οἱ ὕπατοι, πρὸ τοῦ μὲν ἐξάγειν τὰ στρατόπεδα παρόντες ἐν Ῥώμῃ, πασῶν εἰσὶ κύριοι τῶν δημοσίων πράξεων· οἵ τε γὰρ ἄρχοντες οἱ λοιποὶ πάντες ὑποτάττονται καὶ πειθαρχοῦσι τούτοις, πλὴν τῶν δημάρχων· εἴς τε τὴν σύγκλητον οὗτοι τὰς πρεσβείας ἄγουσι. Πρὸς δὲ τοῖς προειρημένοις, οὗτοι τὰ κατεπείγοντα τῶν διαβουλίων ἀναδιδόασιν, οὗτοι τὸν ὅλον χειρισμὸν τῶν δογμάτων ἐπιτελοῦσι. Καὶ μὴν ὅσα δεῖ διὰ τοῦ δήμου συντελεῖσθαι τῶν πρὸς τὰς κοινὰς πράξεις ἀνηκόντων, τούτοις καθήκει φροντίζειν, καὶ συνάγειν ἀεὶ τὰς ἐκκλησίας, τούτοις εἰσφέρειν τὰ δόγματα, τούτοις βραβεύειν τὰ δοκοῦντα τοῖς πλείοσι. Καὶ μὴν περὶ πολέμου κατασκευῆς, καὶ καθόλου τῆς ἐν ὑπαίθροις οἰκονομίας, σχεδὸν αὐτοκράτορα τὴν ἐξουσίαν ἔχουσι· καὶ γὰρ ἐπιτάττειν τοῖς συμμαχικοῖς τὸ δοκοῦν, καὶ τοὺς χιλιάρχους καθιστάναι, καὶ διαγράφειν τοὺς στρατιώτας, καὶ διαλέγειν τοὺς ἐπιτηδείους, τούτοις ἔξεστι. Πρὸς δὲ τοῖς εἰρημένοις, ζημιῶσαι τῶν ὑποταττομένων ἐν τοῖς ὑπαίθροις, ὃν ἂν βουληθῶσι, κύριοι καθεστᾶσιν. Ἐξουσίαν δ' ἔχουσι καὶ δαπανᾶν τῶν δημοσίων, ὅσα προθεῖντο, παρεπομένου ταμίου, καὶ πᾶν τὸ προσταχθὲν ἑτοίμως ποιοῦντος.

τος. Ὡς εἰκότως εἰπεῖν ἂν, ὅτε τις εἰς ταύτην ἀποβλέψειε τὴν μερίδα, διότι μοναρχικὸν ἁπλῶς καὶ βασιλικόν ἐστι τὸ πολίτευμα· εἰ δέ τινα τούτων ἢ τῶν λέγεσθαι μελλόντων λήψεται μετάθεσιν, ἢ κατὰ τὸ παρὸν, ἢ μετά τινα χρόνον, οὐδὲν ἂν εἴη πρὸς τὴν νῦν ὑφ' ἡμῶν λεγομένην ἀπόφασιν.

11. Καὶ μὴν ἡ σύγκλητος πρῶτον μὲν ἔχει τὴν τοῦ ταμιείου κυρίαν· καὶ γὰρ τῆς εἰσόδου πάσης αὕτη κρατεῖ, καὶ τῆς ἐξόδου παραπλησίως· οὔτε γὰρ εἰς τὰς κατὰ μέρος χρείας οὐδεμίαν ποιεῖν ἔξοδον οἱ ταμίαι δύνανται, χωρὶς τῶν τῆς συγκλήτου δογμάτων, πλὴν τὴν εἰς τοὺς ὑπάτους. Τῆς δὲ παρὰ πολὺ τῶν ἄλλων ὁλοσχερεστάτης καὶ μεγίστης δαπάνης, ἣν οἱ τιμηταὶ ποιοῦσιν εἰς τὰς ἐπισκευὰς καὶ κατασκευὰς τῶν δημοσίων κατὰ πενταετηρίαν, ταύτης ἡ σύγκλητός ἐστι κυρία, καὶ διὰ ταύτης γίνεται τὸ συγχώρημα τοῖς τιμηταῖς. Ὁμοίως καὶ ὅσα τῶν ἀδικημάτων, τῶν κατ' Ἰταλίαν, προσδεῖται δημοσίας ἐπισκέψεως, λέγω δὲ, οἷον προδοσίας, συνωμοσίας, φαρμακείας, δολοφονίας, τῇ συγκλήτῳ μέλει περὶ τούτων. Πρὸς δὲ τούτοις, εἴ τις ἰδιώτης ἢ πόλις τῶν κατὰ τὴν Ἰταλίαν διαλύσεως, ἢ ἐπιτιμήσεως, ἢ βοηθείας, ἢ φυλακῆς προσδεῖται, τούτων πάντων ἐπιμελές ἐστι τῇ συγκλήτῳ. Καὶ μὴν εἰ τῶν ἐκτὸς Ἰταλίας πρός τινας ἐξαποστέλλειν δέοι πρεσβείαν τινα, ἢ διαλύουσάν τινας, ἢ παρακαλέσουσαν,

σαν, ἢ καὶ νὴ Δία ἐπιτάξουσαν, ἢ παραληψομένην, ἢ πολεμεῖν ἐπαγγέλλουσαν, αὕτη ποιεῖται τὴν πρόνοιαν. Ὁμοίως δὲ καὶ τῶν παραγενομένων εἰς Ῥώμην πρεσβειῶν, ὡς δέον ἐστὶν ἑκάστοις χρῆσθαι, καὶ ὡς δέον ἀποκριθῆναι, πάντα ταῦτα χειρίζεται διὰ τῆς συγκλήτου. πρὸς δὲ τὸν δῆμον καθάπαξ οὐδέν ἐστι τῶν προειρημένων. Ἐξ ὧν πάλιν, ὁπότε τις ἐπιδημήσαι, μὴ παρόντος ὑπάτου, τελείως ἀριστοκρατικὴ φαίνεται ἡ πολιτεία· ὃ δὴ καὶ πολλοὶ τῶν Ἑλλήνων, ὁμοίως δὲ καὶ τῶν βασιλέων πεπεισμένοι τυγχάνουσι, διὰ τὸ τὰ σφῶν πράγματα σχεδὸν πάντα πρὸς τὴν σύγκλητον κυροῦν.

12. Ἐκ δὲ τούτων τίς οὐκ ἂν εἰκότως ἐπιζητήσειε, ποία καὶ τίς ποτέ ἐστιν ἡ τῷ δήμῳ καταλειπομένη μερὶς ἐν τῷ πολιτεύματι· τῆς μὲν συγκλήτου τῶν κατὰ μέρος, ὧν εἰρήκαμεν, κυρίας ὑπαρχούσης, τὸ δὲ μέγιστον, ὑπ' αὐτῆς καὶ τῆς εἰσόδου καὶ τῆς ἐξόδου χειριζομένης ἁπάσης· τῶν δὲ στρατηγῶν ὑπάτων πάλιν αὐτοκράτορα μὲν ἐχόντων δύναμιν περὶ τὰς τοῦ πολέμου παρασκευὰς, αὐτοκράτορα δὲ τὴν ἐν τοῖς ὑπαίθροις ἐξουσίαν. Οὐ μὴν ἀλλὰ καταλείπεται μερὶς καὶ τῷ δήμῳ, καὶ καταλείπεταί γε βαρυτάτη. Τιμῆς γάρ ἐστι καὶ τιμωρίας ἐν τῇ πολιτείᾳ μόνος ὁ δῆμος κύριος, οἷς συνέχονται μόνοις καὶ δυναστεῖαι, καὶ πολιτεῖαι, καὶ συλλήβδην πᾶς ὁ τῶν ἀνθρώπων βίος. Παρ' οἷς γὰρ ἢ



μὴ

μὴ γινώσκεσθαι συμβαίνει τὴν τοιαύτην διαφορὰν, ἢ γινωσκομένην χειρίζεσθαι κακῶς, παρὰ τούτοις οὐδὲν οἷόν τε κατὰ λόγον διοικεῖσθαι τῶν ὑφεστώτων· πῶς γὰρ εἰκὸς, ἐν ἴσῃ τιμῇ ὄντων τῶν ἀγαθῶν τοῖς κακοῖς. Κρίνει μὲν οὖν ὁ δῆμος καὶ διαφόρου πολλάκις, ὅταν ἀξιόχρεων ᾖ τὸ τίμημα τῆς ἀδικίας, καὶ μάλιστα τοὺς τὰς ἐπιφανεῖς ἐσχηκότας ἀρχάς· θανάτου δὲ κρίνει μόνος· καὶ γίνεταί τι περὶ ταύτην τὴν χρείαν παρ᾽ αὐτοῖς ἄξιον ἐπαίνου καὶ μνήμης. Τοῖς γὰρ θανάτου κρινομένοις, ἐπὰν καταδικάζωνται, δίδωσι τὴν ἐξουσίαν τὸ παρ᾽ αὐτοῖς ἔθος ἀπαλλάττεσθαι φανερῶς, κἂν ἔτι μία λείπεται φυλὴ τῶν ἐπικυρουσῶν τὴν κρίσιν ἀψηφοφόρητος, ἑκούσιον ἑαυτοῦ καταγνόντα φυγαδείαν. Ἔστι δ᾽ ἀσφάλεια τοῖς φεύγουσιν ἔν τε τῇ Νεαπολιτῶν καὶ Πραινεστινῶν, ἔτι δὴ Τιβουρηνῶν πόλει, καὶ ταῖς ἄλλαις, πρὸς ἃς ἔχουσιν ὅρκια. Καὶ μὴν τὰς ἀρχὰς ὁ δῆμος δίδωσι τοῖς ἀξίοις, ὅπερ ἐστὶ κάλλιστον ἆθλον ἐν πολιτείᾳ καλοκἀγαθίας. Ἔχει δὲ τὴν κυρίαν καὶ περὶ τῆς τῶν νόμων δοκιμασίας· καὶ τὸ μέγιστον, ὑπὲρ εἰρήνης οὗτος βουλεύεται καὶ πολέμου. Καὶ μὴν περὶ συμμαχίας, καὶ διαλύσεως, καὶ συνθηκῶν, οὗτός ἐστιν ὁ βεβαιῶν ἕκαστα τούτων, καὶ κύρια ποιῶν, ἢ τοὐναντίον· ὥστε πάλιν ἐκ τούτων εἰκότως ἄν τινα εἰπεῖν, ὅτι μεγίστην ὁ δῆμος ἔχει μερίδα, καὶ δημοκρατικόν ἐστι τὸ πολίτευμα.

13. Τίνα μὲν οὖν τρόπον διῄρηται τὰ τῆς πολιτείας εἰς ἕκαστον εἶδος, εἴρηται· τίνα δὲ τρόπον, ἀντιπράττειν βουληθέντα καὶ συνεργεῖν ἀλλήλοις πάλιν, ἕκαστα τῶν μερῶν δύναται, νῦν ῥηθήσεται. Ὁ μὲν γὰρ ὕπατος, ἐπειδὰν τυχὼν τῆς προειρημένης ἐξουσίας ὁρμήσῃ μετὰ τῆς δυνάμεως, δοκεῖ μὲν αὐτοκράτωρ εἶναι πρὸς τὴν τῶν προκειμένων συντέλειαν· προσδεῖται δὲ τοῦ δήμου καὶ τῆς συγκλήτου, καὶ χωρὶς τούτων ἐπὶ τέλος ἄγειν τὰς πράξεις οὐχ ἱκανός ἐστι· δῆλον γὰρ, ὡς δεῖ μὲν ἐπιπέμπεσθαι τοῖς στρατοπέδοις ἀεὶ τὰς χορηγίας, ἄνευ δὲ τοῦ τῆς συγκλήτου βουλήματος οὔτε σῖτος, οὔτε ἱματισμὸς, οὔτε ὀψώνια δύναται χορηγεῖσθαι τοῖς στρατοπέδοις· ὥστ᾽ ἀπράκτους γίνεσθαι τὰς ἐπιβολὰς τῶν ἡγουμένων, ἐθελοκακεῖν καὶ κωλυσιεργεῖν προθεμένης τῆς συγκλήτου. Καὶ μὴν τό γ᾽ ἐπιτελεῖς ἢ μὴ γίνεσθαι τὰς ἐπινοίας καὶ προθέσεις τῶν στρατηγῶν, ἐν τῇ συγκλήτῳ κεῖται· τοῦ γὰρ ἐπαποστεῖλαι στρατηγὸν ἕτερον, ἐπειδὰν ἐνιαύσιος διέλθῃ χρόνος, ἢ τὸν ὑπάρχοντα ποιεῖν ἐπίμονον, ἔχει τὴν κυρίαν αὕτη. Καὶ μὴν τὰς ἐπιτυχίας τῶν ἡγουμένων ἐκτραγῳδῆσαι καὶ συναυξῆσαι, καὶ πάλιν ἀμαυρῶσαι καὶ ταπεινῶσαι, τὸ συνέδριον ἔχει τὴν δύναμιν· τοὺς γὰρ προσαγορευομένους παρ᾽ αὐτοῖς θριάμβους, δι᾽ ὧν ὑπὸ τὴν ὄψιν ἄγεται τοῖς πολίταις ὑπὸ τῶν στρατηγῶν ἡ τῶν κατειργασμένων πραγμάτων ἐνάργεια, τού-

τους οὐ δύναται χειρίζειν, ὡς πρέπει, ποτὲ δὲ τὸ παράπαν οὐδὲ συντελεῖν, ἐὰν μὴ τὸ συνέδριον συγκατάθηται, καὶ δῷ τὴν εἰς ταῦτα δαπάνην. Τοῦ γε μὴν δήμου τὸ διαλύεσθαι καὶ λίαν αὐτοῖς ἀναγκαῖόν ἐστι, κἂν ὅλως ἀπὸ τῆς οἰκίας τύχωσι πολὺν τόπον ἀφεστῶτες· ὁ γὰρ τὰς διαλύσεις καὶ συνθήκας ἀκύρους καὶ κυρίας ποιῶν, ὡς ἐπάνω προεῖπον, οὗτός ἐστιν. Τὸ δὲ μέγιστον, ἀποτιθεμένους τὴν ἀρχὴν ἐν τούτῳ δεῖ τὰς εὐθύνας ὑπέχειν τῶν πεπραγμένων· ὥστε κατὰ μηδένα τρόπον ἀσφαλὲς εἶναι τοῖς στρατηγοῖς, ὀλιγωρεῖν μήτε τῆς συγκλήτου, μήτε τῆς τοῦ πλήθους εὐνοίας.

14. Ἡ γε μὴν σύγκλητος πάλιν, ἡ τηλικαύτην ἔχουσα δύναμιν, πρῶτον μὲν ἐν τοῖς κοινοῖς πράγμασιν ἀναγκάζεται προσέχειν τοῖς πολλοῖς, καὶ στοχάζεσθαι τοῦ δήμου· τὰς δὲ ὁλοσχερεστάτας καὶ μεγίστας ζητήσεις καὶ διορθώσεις τῶν ἁμαρτανομένων κατὰ τὰς πολιτείας, οἷς θάνατος ἀκολουθεῖ τὸ πρόστιμον, οὐ δύναται συντελεῖν, ἂν μὴ συνεπικυρώσῃ τὸ προβεβουλευμένον ὁ δῆμος. Ὁμοίως δὲ καὶ περὶ τῶν εἰς ταύτην ἀνηκόντων· ἐὰν γάρ τις εἰσφέρει νόμον, ἢ τῆς ἐξουσίας ἀφαιρούμενός τι, τῆς ὑπαρχούσης τῇ συγκλήτῳ κατὰ τοὺς ἐθισμούς, ἢ τὰς προεδρίας καὶ τιμὰς καταλύων αὐτῶν, ἢ καὶ νὴ Δία ποιῶν ἐλαττώματα περὶ τοὺς βίους· πάντων ὁ δῆμος γίνεται τῶν τοιούτων καὶ θεῖναι, καὶ μὴ,

κύριος.

κύριος. Τὸ δὲ συνέχον, ἐὰν εἷς ἐνίσηται τῶν δημάρχων, οὐχ οἷον ἐπὶ τέλος ἄγειν τι δύναται τῶν διαβουλίων ἡ σύγκλητος, ἀλλ᾽ οὐδὲ συνεδρεύειν ἢ συμπορεύεσθαι τὸ παράπαν· ὀφείλουσι δὲ ἀεὶ ποιεῖν οἱ δήμαρχοι τὸ δοκοῦν τῷ δήμῳ, καὶ μάλιστα σοχάζεσθαι τῆς τούτου βουλήσεως. Διὸ πάντων τῶν προειρημένων χάριν δέδιε τοὺς πολλοὺς, καὶ προσέχει τὸν νοῦν τῷ δήμῳ ἡ σύγκλητος.

15. Ὁμοίως γε μὴν πάλιν ὁ δῆμος ὑπόχρεώς ἐσι τῇ συγκλήτῳ, καὶ σοχάζεσθαι ταύτης ὀφείλων, καὶ κοινῇ, καὶ κατ᾽ ἰδίαν. Πολλῶν γὰρ ἔργων ὄντων, τῶν ἐκδιδομένων ὑπὸ τῶν τιμητῶν διὰ πάσης Ἰταλίας, εἰς τὰς ἐπισκευὰς καὶ κατασκευὰς τῶν δημοσίων, ἅ τις οὐκ ἂν ἐξαριθμήσαιτο ῥᾳδίως, πολλῶν δὲ ποταμῶν, λιμένων, κηπίων, μετάλλων, χώρας, συλλήβδην ὅσα πέπτωκεν ὑπὸ τὴν Ῥωμαίων δυνασείαν· πάντα χειρίζεσθαι συμβαίνει τὰ προειρημένα διὰ τοῦ πλήθους, καὶ σχεδὸν, ὡς ἔπος εἰπεῖν, πάντας ἐνδεδέσθαι ταῖς ὠναῖς καὶ ταῖς ἐργασίαις ταῖς ἐκ τούτων. Οἱ μὲν γὰρ ἀγοράζουσι παρὰ τῶν τιμητῶν αὐτοὶ τὰς ἐκδόσεις, οἱ δὲ κοινωνοῦσι τούτοις, οἱ δ᾽ ἐγγυῶνται τοὺς ἠγορακότας, οἱ δὲ τὰς οὐσίας διδόασιν περὶ τούτων εἰς τὸ δημόσιον. Ἔχει δὲ περὶ πάντων τῶν προειρημένων τὴν κυρίαν τὸ συνέδριον· καὶ γὰρ χρόνον δοῦναι, καὶ συμπτώματος γενομένου κουφίσαι, καὶ τὸ παράπαν, ἀδυνάτου τινὸς συμ-

 βάντος,

βάντος, ἀπολῦσαι τῆς ἐργωνίας· καὶ πολλὰ δὴ τινά ἐστιν, ἐν οἷς καὶ βλάπτει μεγάλα, καὶ πάλιν ὠφελεῖ τοὺς τὰ δημόσια χειρίζοντας ἡ σύγκλητος· ἡ γὰρ ἀναφορὰ τῶν προειρημένων γίνεται πρὸς ταύτην. Τὸ δὲ μέγιστον, ἐκ ταύτης ἀποδίδονται κριταὶ τῶν πλείστων καὶ τῶν δημοσίων καὶ τῶν ἰδιωτικῶν συναλλαγμάτων, ὅσα μέγεθος ἔχει τῶν ἐγκλημάτων. Διὸ πάντες εἰς τὴν ταύτης πίστιν ἐνδεδεμένοι, καὶ δεδιότες τὸ τῆς χρείας ἄδηλον, εὐλαβῶς ἔχουσι πρὸς τὰς ἐνστάσεις καὶ τὰς ἀντιπράξεις τῶν τῆς συγκλήτου βουλημάτων. Ὁμοίως δὲ καὶ πρὸς τὰς τῶν ὑπάτων ἐπιβολὰς δυσχερῶς ἀντιπράττουσιν, διὰ τὸ κατ' ἰδίαν καὶ κοινῇ πάντας ἐν τοῖς ὑπαίθροις ὑπὸ τὴν ἐκείνων πίπτειν ἐξουσίαν.

16. Τοιαύτης δ' οὔσης τῆς ἑκάστου τῶν μερῶν δυνάμεως, εἰς τὸ καὶ βλάπτειν καὶ συνεργεῖν ἀλλήλοις· πρὸς πάσας συμβαίνει τὰς περιστάσεις δεόντως ἔχειν τὴν ἁρμογὴν αὐτῶν, ὥστε μὴ οἷόν τ' εἶναι, ταύτης εὑρεῖν ἀμείνω πολιτείας σύστασιν. Ὅταν μὲν γάρ τις ἔξωθεν κοινὸς φόβος ἐπιστὰς ἀναγκάσῃ σφᾶς συμφρονεῖν καὶ συνεργεῖν ἀλλήλοις, τηλικαύτην καὶ τοιαύτην συμβαίνει γίνεσθαι τὴν δύναμιν τοῦ πολιτεύματος, ὥστε μηδὲ παραλείπεσθαι τῶν δεόντων μηδὲν, ἅτε περὶ τὸ προσπεσὸν ἀεὶ πάντων ὁμοῦ ταῖς ἐπινοίαις ἁμιλλωμένων, μήτε τὸ κριθὲν ὑστερεῖν τοῦ καιροῦ, κοινῇ καὶ κατ' ἰδίαν ἑκάστου συνεργοῦντος

γοῦντος πρὸς τὴν τοῦ προκειμένου συντέλειαν. Διόπερ ἀνυπόστατον συμβαίνει γίγνεσθαι, καὶ παντὸς ἐφικνεῖσθαι τοῦ κριθέντος τὴν ἰδιότητα τοῦ πολιτεύματος. Ὅταν γε μὴν πάλιν ἀπολυθέντες τῶν ἐκτὸς φόβων ἐνδιατρίβωσι ταῖς εὐτυχίαις καὶ περιουσίαις, ταῖς ἐκ τῶν κατορθωμάτων, ἀπολαύοντες τῆς εὐδαιμονίας καὶ ὑποκολακευόμενοι καὶ ῥαθυμοῦντες τρέπωνται πρὸς ὕβριν καὶ πρὸς ὑπερηφανίαν, ὃ δὴ φιλεῖ γίγνεσθαι· τότε καὶ μάλιστα συνιδεῖν ἐστι αὐτὸ παρ' αὑτοῦ ποριζόμενον τὸ πολίτευμα τὴν βοήθειαν. Ἐπειδὰν γὰρ ἐξοιδοῦν τι τῶν μερῶν φιλονεικῇ, καὶ πλεῖον τοῦ δέοντος ἐπικρατῆται· δῆλον, ὡς, οὐδενὸς αὐτοτελοῦς ὄντος κατὰ τὸν ἄρτι λόγον, ἀντισπᾶσθαι δὲ καὶ παραποδίζεσθαι δυναμένης τῆς ἑκάστου προθέσεως ὑπ' ἀλλήλων, οὐδὲν ἐξοιδεῖ τῶν μερῶν, οὐδ' ὑπερφρονεῖ· πάντα γὰρ ἐμμένει τοῖς ὑποκειμένοις, τὰ μὲν κωλυόμενα τῆς ὁρμῆς, τὰ δὲ ἐξ ἀρχῆς δεδιότα τὴν ἐκ τοῦ πέλας ἐπίστασιν.

## E DIODORO SICVLO

### LIB. I. CAP. 1. 2. 3.

1. Τοῖς τὰς κοινὰς ἱστορίας πραγματευσαμένοις μεγάλας χάριτας ἀπονέμειν δίκαιον πάντας ἀνθρώπους, ὅτι τοῖς οἰκείοις πόνοις

πόνοις ὠφελῆσαι τὸν κοινὸν βίον ἐφιλοτιμήθησαν· ἀκίνδυνον γὰρ διδασκαλίαν τοῦ συμφέροντος εἰσηγησάμενοι, καλλίστην ἐμπειρίαν διὰ τῆς πραγματείας ταύτης περιποιοῦσι τοῖς ἀναγινώσκουσιν. Ἡ μὲν γὰρ ἐκ τῆς πείρας ἑκάστου μάθησις μετὰ πολλῶν πόνων καὶ κινδύνων ποιεῖ τῶν χρησίμων ἕκαστα διαγινώσκειν, καὶ διὰ τοῦτο τῶν ἡρώων ὁ πολυπειρότατος μετὰ μεγάλων ἀτυχημάτων

Πολλῶν ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω·

ἡ δὲ διὰ τῆς ἱστορίας περιγινομένη σύνεσις τῶν ἀλλοτρίων ἀποτευγμάτων τε καὶ κατορθωμάτων ἀπείρατον κακῶν ἔχει διδασκαλίαν. Ἔπειτα πάντας ἀνθρώπους, μετέχοντας μὲν τῆς πρὸς ἀλλήλους συγγενείας, τόποις τε καὶ χρόνοις διεστηκότας, ἐφιλοτιμήθησαν ὑπὸ μίαν καὶ τὴν αὐτὴν σύνταξιν ἀγαγεῖν, ὥσπερ τινες ὑπουργοὶ τῆς θείας προνοίας γενηθέντες. Ἐκείνη τε γὰρ τὴν τῶν ὁρωμένων ἄστρων διακόσμησιν, καὶ τὰς τῶν ἀνθρώπων φύσεις, εἰς κοινὴν ἀναλογίαν συνθεῖσα, κυκλεῖ συνεχῶς ἅπαντα τὸν αἰῶνα, τὸ ἐπιβάλλον ἑκάστοις ἐκ τῆς πεπρωμένης μερίζουσα· οἵ τε τὰς κοινὰς τῆς οἰκουμένης πράξεις καθάπερ μιᾶς πόλεως ἀναγράψαντες, ἕνα λόγον καὶ κοινὸν χρηματιστήριον τῶν συντετελεσμένων ἀπέδειξαν τὰς ἑαυτῶν πραγματείας. Καλὸν γὰρ τὸ δύνασθαι τοῖς τῶν ἄλλων ἀγνοήμασι πρὸς διόρθωσιν χρῆσθαι παραδείγμασι, καὶ πρὸς τὰ

συγκυρῦντα ποικίλως κατὰ τὸν βίον ἔχειν μὴ ζήτησιν τῶν πρασσομένων, ἀλλὰ μίμησιν τῶν ἐπιτετευγμένων. Καὶ γὰρ τοὺς πρεσβυτάτȣς ταῖς ἡλικίαις ἅπαντες τῶν νεωτέρων προκρίνȣσιν ἐν ταῖς συμβȣλίαις, διὰ τὴν ἐκ τοῦ χρόνȣ περιγεγενημένην αὐτοῖς ἐμπειρίαν. Ἧς τοσοῦτον ὑπερέχειν συμβέβηκε τὴν ἐκ τῆς ἱςορίας μάθησιν, ὅσον καὶ τῷ πλήθει τῶν πραγμάτων προτερȣ̃σαν αὐτὴν ἐπεγνώκαμεν. Διὸ καὶ πρὸς ἁπάσας τὰς τȣ̃ βίȣ περιςάσεις χρησιμωτάτην ἄν τις εἶναι νομίσειε τὴν ταύτης ἀνάληψιν. Τοῖς μὲν γὰρ νεωτέροις τὴν τῶν γεγηρακότων περιποιεῖ σύνεσιν, τοῖς δὲ πρεσβυτέροις πολλαπλασιάζει τὴν ὑπάρχȣσαν ἐμπειρίαν· καὶ τοὺς μὲν ἰδιώτας ἀξίους ἡγεμονίας κατασκευάζει, τοὺς δὲ ἡγεμόνας τῷ διὰ τῆς δόξης ἀθανατισμῷ προτρέπεται, τοῖς καλλίςοις τῶν ἔργων ἐπιχειρεῖν. Χωρὶς δὲ τούτων, τοὺς μὲν ςρατιώτας τοῖς μετὰ τὴν τελευτὴν ἐπαίνοις ἑτοιμοτέρȣς κατασκευάζει πρὸς τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνȣς· τοὺς δὲ πονηρȣ̀ς τῶν ἀνθρώπων ταῖς αἰωνίαις βλασφημίαις ἀποτρέπει τῆς ἐπὶ τὴν κακίαν ὁρμῆς.

2. Καθόλȣ δὲ, διὰ τὴν ἐκ ταύτης ἐπ' ἀγαθῷ μνήμην, οἱ μὲν κτίςαι πόλεων γενέσθαι προεκλήθησαν, οἱ δὲ νόμȣς εἰσηγήσασθαι, περιέχοντας τῷ κοινῷ βίῳ τὴν ἀσφάλειαν, πολλοὶ δ' ἐπιςήμας καὶ τέχνας ἐξευρεῖν ἐφιλοτιμήθησαν, πρὸς εὐεργεσίαν τȣ̃ γένȣς

τῶν ἀνθρώπων. Ἐξ ἁπάντων δὲ συμπληρου-
μένης τῆς εὐδαιμονίας, ἀποδοτέον τῶν ἐπαίνων
τὸ πρωτεῖον τῇ τούτων μάλιστ' αἰτίᾳ ἱστορίᾳ·
ἡγητέον γὰρ, εἶναι ταύτην φυλακὴν μὲν τῆς
τῶν ἀξιολόγων ἀρετῆς, μάρτυρα δὲ τῆς τῶν
φαύλων κακίας, εὐεργέτιν δὲ τοῦ κοινοῦ γένους
τῶν ἀνθρώπων. Εἰ γὰρ ἡ τῶν ἐν ᾅδου μυθο-
λογία, τὴν ὑπόθεσιν πεπλασμένην ἔχουσα,
πολλὰ συμβάλλεται τοῖς ἀνθρώποις πρὸς εὐ-
σέβειαν καὶ δικαιοσύνην, πόσῳ μᾶλλον ὑπο-
ληπτέον, τὴν προφῆτιν τῆς ἀληθείας, ἱστορίαν,
τῆς ὅλης φιλοσοφίας οἱονεὶ μητρόπολιν οὖσαν,
ἐπισκευάσαι δύνασθαι τὰ ἤθη μᾶλλον πρὸς
καλοκαγαθίαν; Πάντες γὰρ ἄνθρωποι διὰ
τὴν τῆς φύσεως ἀσθένειαν βιοῦσι μὲν ἀκα-
ριαῖόν τι μέρος τοῦ παντὸς αἰῶνος, τετελευ-
τήκασι δὲ πάντα τὸν ὕστερον χρόνον. Καὶ τοῖς
μὲν ἐν τῷ ζῆν μηδὲν ἀξιόλογον πράξασιν ἅμα
ταῖς τῶν σωμάτων τελευταῖς συναποθνήσκει
καὶ τὰ ἄλλα πάντα τὰ κατὰ τὸν βίον· τοῖς
δὲ δι' ἀρετὴν περιποιησαμένοις δόξαν αἱ πρά-
ξεις ἅπαντα τὸν αἰῶνα μνημονεύονται, δια-
βοώμεναι τῷ θειοτάτῳ τῆς ἱστορίας στόματι.
Καλὸν δ' οἶμαι τοῖς εὖ φρονοῦσι, θνητῶν πόνων
ἀντικαταλλάξασθαι τὴν ἀθάνατον εὐφημίαν.
Ἡρακλῆς μὲν γὰρ ὁμολογεῖται πάντα τὸν
γενόμενον αὐτῷ κατ' ἀνθρώπους χρόνον ὑπο-
μεῖναι μεγάλους καὶ συνεχεῖς πόνους καὶ κινδύ-
νους ἑκουσίως, ἵνα τὸ γένος τῶν ἀνθρώπων εὐ-
εργετήσας τύχῃ τῆς ἀθανασίας· τῶν δὲ ἄλ-

λων ἀγαθῶν ἀνδρῶν οἱ μὲν ἡρωϊκῶν, οἱ δὲ ἰσοθέων τιμῶν ἔτυχον· πάντες δὲ μεγάλων ἐπαίνων ἠξιώθησαν, τὰς ἀρετὰς αὐτῶν τῆς ἱςορίας ἀπαθανατιζούσης. Τὰ μὲν γὰρ ἄλλα μνημεῖα διαμένει χρόνον ὀλίγον, ὑπὸ πολλῶν ἀναιρούμενα περιςάσεων· ἡ δὲ τῆς ἱςορίας δύναμις, ἐπὶ πᾶσαν τὴν οἰκουμένην διήκουσα, τὸν πάντα τἄλλα λυμαινόμενον χρόνον ἔχει φύλακα τῆς αἰωνίου παραδόσεως τοῖς ἐπιγινομένοις. Συμβάλλεται δ᾽ αὕτη καὶ πρὸς λόγου δύναμιν, οὗ κάλλιον ἕτερον οὐκ ἄν τις εὕροι· τούτῳ γὰρ οἱ μὲν Ἕλληνες τῶν βαρβάρων, οἱ δὲ πεπαιδευμένοι τῶν ἀπαιδεύτων προέχουσι. Πρὸς δὲ τούτοις διὰ μόνου τούτου δυνατόν ἐςιν, ἕνα τῶν πολλῶν περιγενέσθαι· καθόλου δὲ φαίνεται πᾶν τὸ προτεθὲν τοιοῦτον, ὁποῖον ἂν ἡ τοῦ λέγοντος δύναμις παραςήσῃ, καὶ τοὺς ἀγαθοὺς ἄνδρας ἀξίους λόγου προσαγορεύομεν, ὡς τοῦτο τὸ πρωτεῖον τῆς ἀρετῆς περιπεποιημένους. Εἰς πλείω δὲ μέρη τούτου διῃρημένου, συμβαίνει, τὴν μὲν ποιητικὴν τέρπειν μᾶλλον, ἢ ὠφελεῖν, τὴν δὲ νομοθεσίαν κολάζειν, ἢ διδάσκειν, παραπλησίως δὲ καὶ τἄλλα μέρη τὰ μὲν μηδὲν συμβάλλεσθαι πρὸς εὐδαιμονίαν, τὰ δὲ μεμιγμένην ἔχειν τῷ συμφέροντι τὴν βλάβην, ἔνια δὲ κατεψεῦσθαι τῆς ἀληθείας, μόνην δὲ τὴν ἱςορίαν, συμφωνούντων ἐν αὐτῇ τῶν λόγων τοῖς ἔργοις, ἅπαντα τἄλλα χρήσιμα τῇ γραφῇ περιειληφέναι· ὁρᾶσθαι γὰρ αὐτὴν προτρεπομένην ἐπὶ δικαιοσύνην, κατηγοροῦσαν

τῶν φαύλων, ἐγκωμιάζουσαν τοὺς ἀγαθοὺς, τὸ σύνολον ἐμπειρίαν μεγίςην περιποιοῦσαν τοῖς ἐντυγχάνουσι.

3. Διὸ καὶ θεωροῦντες ἡμεῖς, δικαίας ἀποδοχῆς τυγχάνοντας τοὺς ταύτην πραγματευσαμένους, προήχθημεν ἐπὶ τὸν ὅμοιον τῆς ὑποθέσεως ζῆλον· ἐπιςήσαντες δὲ τὸν νοῦν τοῖς πρὸ ἡμῶν συγγραφεῦσιν, ἀπεδεξάμεθα μὲν ὡς ἔνι μάλιςα τὴν προαίρεσιν αὐτῶν, οὐ μὴν ἐξειργάσθαι πρὸς τὸ συμφέρον καὶ τὸ δυνατὸν τὰς πραγματείας αὐτῶν ὑπελάβομεν. Κειμένης γὰρ ἐν τοῖς ἀναγινώσκουσι τῆς ὠφελείας ἐν τῷ πλείςας καὶ ποικιλωτάτας περιςάσεις λαμβάνειν, οἱ πλεῖςοι μὲν ἔθνους ἢ μιᾶς πόλεως αὐτοτελεῖς πολέμους ἀνέγραψαν, ὀλίγοι δ' ἀπὸ τῶν ἀρχαίων χρόνων ἀρξάμενοι τὰς κοινὰς πράξεις ἐπεχείρησαν ἀναγράφειν μέχρι τῶν καθ' αὐτοὺς καιρῶν. Καὶ τούτων οἱ μὲν τοὺς οἰκείους χρόνους ἑκάςοις οὐ παρέζευξαν, οἱ δὲ τὰς τῶν βαρβάρων πράξεις ὑπερέβησαν. Ἔτι δ' οἱ μὲν τὰς παλαιὰς μυθολογίας διὰ τὴν δυσχέρειαν τῆς πραγματείας ἀπεδοκίμασαν· οἱ δὲ τὴν ὑπόςασιν τῆς ἐπιβολῆς οὐ συνετέλεσαν, μεσολαβηθέντες τὸν βίον ὑπὸ τῆς πεπρωμένης. Τῶν δὲ τὴν ἐπιβολὴν ταύτης τῆς πραγματείας πεποιημένων οὐδεὶς προεβίβασε τὴν ἱςορίαν κατωτέρω τῶν Μακεδονικῶν καιρῶν. Οἱ μὲν γὰρ εἰς τὰς Φιλίππου πράξεις, οἱ δ' εἰς τὰς Ἀλεξάνδρου, τινὲς δ' εἰς τοὺς διαδόχους ἢ τοὺς ἐπιγόνους κατέςρε-

τέτρεψαν τὰς συντάξεις. Πολλῶν δὲ καὶ μεγάλων τῶν μετὰ ταῦτα πράξεων ἀπολελειμμένων μέχρι τοῦ καθ' ἡμᾶς βίου, τῶν ἱστοριογράφων οὐδεὶς ἐπεβάλετο αὐτὰς μιᾶς συντάξεως περιγραφῇ πραγματεύσασθαι, διὰ τὸ μέγεθος τῆς ὑποθέσεως. Διὸ καὶ ἐῤῥιμμένων τῶν τε χρόνων καὶ τῶν πράξεων ἐν πλείοσι πραγματείαις καὶ διαφόροις συγγραφεῦσι, δυσπερίληπτος ἡ τούτων ἀνάληψις γίνεται καὶ δυσμνημόνευτος. Ἐξετάσαντες οὖν τὰς ἑκάστου τούτων διαθέσεις, ἐκρίναμεν, ὑπόθεσιν ἱστορικὴν πραγματεύσασθαι, τὴν πλεῖστα μὲν ὠφελῆσαι δυναμένην, ἐλάχιστα δὲ τοὺς ἀναγινώσκοντας ἐνοχλήσουσαν. Εἰ γάρ τις τὰς εἰς μνήμην παραδεδομένας τοῦ σύμπαντος κόσμου πράξεις, ὥσπερ τινὸς μιᾶς πόλεως, ἀρξάμενος ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων, ἀναγράψαι κατὰ τὸ δυνατὸν μέχρι τῶν καθ' αὐτὸν καιρῶν· πόνον μὲν ἂν πολὺν ὑπομεῖναι δηλονότι, πραγματείαν δὲ πασῶν εὐχρηστοτάτην συντάξαιτο τοῖς φιλαναγνωστοῦσιν. Ἐξέσται γὰρ, ἐκ ταύτης ἕκαστον πρὸς τὴν ἰδίαν ὑπόστασιν ἑτοίμως λαμβάνειν τὸ χρήσιμον, ὥσπερ ἐκ μεγάλης ἀρυόμενον πηγῆς. Τοῖς μὲν γὰρ ἐπιβαλλομένοις διεξιέναι τὰς τῶν τοσούτων συγγραφέων ἱστορίας πρῶτον μὲν οὐ ῥάδιον, εὐπορῆσαι τῶν εἰς τὴν χρείαν πιπτουσῶν βίβλων· ἔπειτα διὰ τὴν ἀνωμαλίαν καὶ τὸ πλῆθος τῶν συνταγμάτων δυσκατάληπτος γίνεται τελείως ἡ τῶν πεπραγμένων ἀνάληψις· ἡ δ' ἐν μιᾷ συντάξεως πραγ-

ματείᾳ

ματείᾳ τὸ τῶν πράξεων εἰρόμενον ἔχουσα, τὴν μὲν ἀνάγνωσιν ἑτοίμην παρέχεται, τὴν δ' ἀνάληψιν ἔχει παντελῶς εὐπαρακολούθητον. Καθόλου δὲ τῶν ἄλλων τοσοῦτον ὑπερέχειν ταύτην ἡγητέον, ὅσῳ χρησιμώτερόν ἐστι τὸ πᾶν τοῦ μέρους, καὶ τὸ συνεχὲς τοῦ διῃρημένου, πρὸς δὲ τούτοις τὸ διηκριβωμένον τοῖς χρόνοις τοῦ μηδὲ γινωσκομένου, τίσιν ἐπράχθη καιροῖς.

4. Διόπερ ἡμεῖς, ὁρῶντες, ταύτην τὴν ὑπόθεσιν χρησιμωτάτην μὲν οὖσαν, πολλοῦ δὲ πόνου καὶ χρόνου προσδεομένην, τριάκοντα μὲν ἔτη περὶ αὐτὴν ἐπραγματεύθημεν, μετὰ δὲ πολλῆς κακοπαθείας καὶ κινδύνων ἐπήλθομεν πολλὴν τῆς τε Ἀσίας καὶ τῆς Εὐρώπης, ἵνα τῶν ἀναγκαιοτάτων καὶ πλείστων μερῶν αὐτόπται γενηθῶμεν. Πολλὰ γὰρ παρὰ τὰς ἀγνοίας τῶν τόπων διήμαρτον οὐχ οἱ τυχόντες μόνον τῶν συγγραφέων, ἀλλά τινες καὶ τῶν τῇ δόξῃ πεπρωτευκότων. Ἀφορμῇ δὲ πρὸς τὴν ἐπιβολὴν ταύτην ἐχρησάμεθα μάλιστα μὲν τῇ πρὸς τὴν πραγματείαν ἐπιθυμίᾳ, δι' ἣν πᾶσιν ἀνθρώποις τὸ δοκοῦν ἄπορον εἶναι τυγχάνει συντελείας· ἔπειτα καὶ διὰ τὴν ἐν τῇ Ῥώμῃ χορηγίαν τῶν πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν ἀνηκόντων. Ἡ γὰρ ταύτης τῆς πόλεως ὑπεροχὴ, διατείνουσα τῇ δυνάμει πρὸς τὰ πέρατα τῆς οἰκουμένης, ἑτοιμοτάτας καὶ πλείστας ἡμῖν ἀφορμὰς παρέσχετο, παρεπιδημήσασιν ἐν αὐτῇ πλείω χρόνον. Ἡμεῖς γὰρ, ἐξ Ἀγυρίου τὸ γένος ὄντες, καὶ διὰ τὴν ἐπιμι-

ξίαν τοῖς ἐν τῇ νήσῳ πολλὴν ἐμπειρίαν τῆς Ῥωμαίων διαλέκτου περιπεποιημένοι, πάσας τὰς τῆς ἡγεμονίας ταύτης πράξεις ἀκριβῶς ἀνελάβομεν ἐκ τῶν παρ᾽ ἐκείνοις ὑπομνημάτων, ἐκ πολλῶν χρόνων τετηρημένων.

## E DIODORO SICVLO. XIX, 98. 99.

### DE LACV ASPHALTITIDE.

Οὐκ ἄξιον, τὴν φύσιν τῆς Ἀσφαλτίτιδος λίμνης παραδραμεῖν ἀνεπιστήμαντον. Κεῖται γὰρ κατὰ μέσην τὴν σατραπείαν τῆς Ἰδουμαίας, τῷ μὲν μήκει παρατείνουσα σταδίους μάλιστά που πεντακοσίους, τῷ δὲ πλάτει περὶ ἑξήκοντα. Τὸ δὲ ὕδωρ ἔχει διάπικρον καὶ καθ᾽ ὑπερβολὴν δυσῶδες, ὥστε μήτ᾽ ἰχθὺν δύνασθαι τρέφειν, μήτ᾽ ἄλλο τῶν καθ᾽ ὕδατος εἰωθότων ζώων. Ἐμβαλλόντων δ᾽ εἰς αὐτὴν ποταμῶν μεγάλων, τῇ γλυκύτητι διαφόρων, τούτων μὲν περιγίνεται κατὰ τὴν δυσωδίαν· ἐξ αὐτῆς δὲ μέσης ἐκφυσᾷ κατ᾽ ἐνιαυτὸν ἀσφάλτου στερεᾶς μέγεθος, ποτὲ μὲν μεῖζον, ἢ τρίπλεθρον, ἔστι δ᾽ ὅτ᾽ οὐ πολὺ λειπόμενον πλέθρου. Ἐφ᾽ ᾧ δὴ συνήθως οἱ περιοικοῦντες βάρβαροι τὸ μὲν μεῖζον καλοῦσι ταῦρον, τὸ δ᾽ ἔλασσον μόσχον. Ἐπιπλεούσης δὲ τῆς ἀσφάλτου πελαγίας, ὁ τόπος φαίνεται τοῖς ἐξ ἀποστήματος θεωροῦσιν οἱονεί τις νῆσος. Τὴν δ᾽ ἐκ-

πτωσιν

πτῶσιν φανερὰν συμβαίνει γίνεσθαι πρὸ ἡμερῶν εἴκοσι. Κύκλῳ γὰρ τῆς λίμνης ἐπὶ πολλὰς ςαδίυς ὀσμὴ τῆς ἀσφάλτυ προσπίπτει πνεύματος μοχθηρῦ, καὶ πᾶς ὁ περὶ τὸν τόπον ἄργυρος καὶ χρυσὸς καὶ χαλκὸς ἀποβάλλει τὴν ἰδιότητα τῦ χρώματος. Ἀλλ᾽ αὕτη μὲν ἀποκαθίςαται πάλιν, ἐπειδὰν ἀναφυσηθῆναι συμβῇ πᾶσαν τὴν ἄσφαλτον· ὁ δὲ πλησίον τόπος, ἔμπυρος ὢν καὶ δυσώδης, ποιεῖ τὰ σώματα τῶν περιοικύντων ἐπίνοσα καὶ παντελῶς ὀλιγοχρόνια. Ἀγαθὴ δ᾽ ἐςὶ φοινικόφυτος, ὅσην αὐτῆς συμβαίνει διειλῆφθαι ποταμοῖς χρησίμοις, ἢ πηγαῖς δυναμέναις ἀρδεύειν. Γίνεται δὲ περὶ τὺς τόπυς ἐν αὐλῶνί τινι καὶ τὸ καλύμενον βάλσαμον, ἐξ ὗ πρόσοδον ἁδρὰν εἶναι συμβαίνει, ὐδαμῦ μὲν τῆς ἄλλης οἰκυμένης εὑρισκομένυ τῦ φυτῦ, τῆς δ᾽ ἐξ αὐτῦ χρείας εἰς φάρμακα τοῖς ἰατροῖς καθ᾽ ὑπερβολὴν εὐθετύσης.

Τὴν δ᾽ ἐκπίπτυσαν ἄσφαλτον οἱ περιοικῦντες ἐξ ἀμφοτέρων τῶν μερῶν τὴν λίμνην διαρπάζυσι, πολεμικῶς διακείμενοι πρὸς ἀλλήλυς, ἄνευ πλοίων ἰδιαζόντως τὴν κομιδὴν ποιύμενοι. Παρασκευασάμενοι γὰρ δέσμας καλάμων εὐμεγέθεις, ἐμβάλλυσιν εἰς τὴν λίμνην· ἐπὶ δὲ τύτων ἐπικάθηνται ὐ πλείω τριῶν, δύο μὲν ἔχοντες προσδεδεμένας πλάτας κωπηλατῦσιν, εἷς δὲ φορῶν τόξα τὺς προσπλέοντας ἐκ τῦ πέραν, ἢ βιάζεσθαι τολμῶντας, ἀμύνεται. Ὅταν δὲ πλησίον γένωνται τῆς

ἀσφάλ-

ἀσφάλτου, πελέκεις ἔχοντες ἐπιπηδῶσι, καὶ καθάπερ μαλακῆς πέτρας ἀποκόπτοντες γεμίζουσι τὴν δέσμην, εἶτα ἀποπλέουσιν εἰς τοὐπίσω. Ἂν δέ τις αὐτῶν ἀποπέσῃ τῆς δέσμης διαλυθείσης, μὴ δυνάμενος νεῖν οὐ καταδύεται, καθάπερ ἐν τοῖς ἄλλοις ὕδασιν, ἀλλὰ ἐπινήχεται τοῖς ἐπισαμένοις ὁμοίως. Φύσει γὰρ τοῦτο τὸ ὑγρὸν παραδέχεται βάρος, ὃ συμβαίνει μετέχειν αὐξήσεως ἢ πνεύματος, ἔξω τῶν στερεῶν, ἃ τὴν πυκνότητα δοκεῖ παραπλησίαν ἔχειν ἀργύρῳ, καὶ χρυσῷ, καὶ μολύβδῳ, καὶ τοῖς ὁμοίοις. Καὶ ταῦτα μὲν πολὺ βραδύτερον καταφέρεται τῶν ἐν ταῖς ἄλλαις λίμναις ῥιπτουμένων. Ταύτην δ' ἔχοντες οἱ βάρβαροι πρόσοδον, ἀπάγουσι τὴν ἄσφαλτον εἰς τὴν Αἴγυπτον, καὶ πωλοῦσιν εἰς τὰς ταριχείας τῶν νεκρῶν. Μὴ μιγνυμένης γὰρ ταύτης τοῖς λοιποῖς ἀρώμασιν, οὐ δυνατὸν γενέσθαι τὴν τῶν σωμάτων φυλακὴν πολυχρόνιον.

# ARCHAEOLOGIAE ROMANAE DIONYSII HALICARNASSENSIS PRAEFATIO

Τοὺς εἰωθότας ἀποδίδοσθαι τοῖς προοιμίοις τῶν ἱστοριῶν λόγους ἥκιστα βουλόμενος, ἀναγκάζομαι περὶ ἐμαυτοῦ προειπεῖν, οὔτε ἐν

τοῖς ἰδίοις μέλλων πλεονάζειν ἐπαίνοις, οὓς ἐπαχθεῖς οἶδα φαινομένους τοῖς ἀκούουσιν, οὔτε διαβολὰς κάθ' ἑτέρων ἐγνωκὼς ποιεῖσθαι συγγραφέων, ὥσπερ Ἀναξίλαος καὶ Θεόπομπος ἐν τοῖς προοιμίοις τῶν ἱστοριῶν ἐποίησαν· ἀλλὰ τοὺς ἐμαυτοῦ λογισμοὺς ἀποδεικνύμενος, οἷς ἐχρησάμην, ὅτε πρὸς αὐτὴν ὥρμησα τὴν πραγματείαν, καὶ περὶ τῶν ἀφορμῶν ἀποδιδοὺς λόγους, ἐξ ὧν τὴν ἐμπειρίαν ἔλαβον τῶν γραφησομένων. Ἐπείσθην γὰρ, ὅτι δεῖ τοὺς προαιρουμένους μνημεῖα τῆς ἑαυτῶν ψυχῆς τοῖς ἐπιγινομένοις καταλιπεῖν, ἃ μὴ συναφανισθήσεται τοῖς σώμασιν αὐτῶν ὑπὸ τοῦ χρόνου, καὶ πάντων μάλιστα τοὺς ἀναγράφοντας ἱστορίας, ἐν αἷς καθιδρῦσθαι τὴν ἀλήθειαν πάντες ὑπολαμβάνομεν, ἀρχὴν φρονήσεώς τε καὶ σοφίας οὖσαν, πρῶτον μὲν ὑποθέσεις αἱρεῖσθαι καλὰς καὶ μεγαλοπρεπεῖς, καὶ πολλὴν ὠφέλειαν τοῖς ἀναγνωσομένοις φερούσας· ἔπειτα παρασκευάζεσθαι τὰς ἐπιτηδείους εἰς τὴν ἀναγραφὴν τῆς ὑποθέσεως ἀφορμὰς, μετὰ πολλῆς ἐπιμελείας τε καὶ φιλοπονίας. Οἱ μὲν γὰρ ὑπὲρ ἀδόξων πραγμάτων, ἢ πονηρῶν, ἢ μηδεμιᾶς σπουδῆς ἀξίων ἱστορικὰς καταβαλλόμενοι πραγματείας, εἴτε τοῦ προελθεῖν εἰς γνῶσιν ὀρεγόμενοι, καὶ τυχεῖν ὁποίου δήποτε ὀνόματος, εἴτε περιουσίαν ἀποδείξασθαι τῆς περὶ λόγους δυνάμεως βουλόμενοι, οὔτε τῆς γνώσεως ζηλοῦνται παρὰ τοῖς ἐπιγινομένοις, οὔτε τῆς δυνάμεως ἐπαινοῦνται,

δόξαν

δόξαν ἐγκαταλείποντες τοῖς ἀναλαμβάνουσιν αὐτῶν τὰς ἱστορίας, ὅτι τοιούτους ἐζήλωσαν αὐτοὶ βίους, οἵας ἐξέδωκαν τὰς γραφάς. Ἐπιεικῶς γὰρ ἅπαντες νομίζουσιν, εἰκόνας εἶναι τῆς ἑκάστου ψυχῆς τοὺς λόγους. Οἱ δὲ προαιρούμενοι μὲν τὰς κρατίστας ὑποθέσεις, εἰκῇ δὲ καὶ ῥαθύμως αὐτὰς συντιθέντες ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων, οὐδένα ὑπὲρ τῆς προαιρέσεως ἔπαινον κομίζονται· οὐ γὰρ ἀξιοῦμεν αὐτοσχεδίους οὐδὲ ῥαθύμους εἶναι τὰς περί τε πόλεων ἐνδόξων καὶ ἀνδρῶν ἐν δυναστείᾳ γεγονότων ἀναγραφομένας ἱστορίας. Ταῦτα δὲ νομίσας ἀναγκαῖα καὶ πρῶτα θεωρήματα τοῖς ἱστορικοῖς εἶναι, καὶ πολλὴν ποιησάμενος ἐπιμέλειαν, οὔτε παρελθεῖν τὸν ὑπὲρ αὐτῶν λόγον ἐβουλήθην, οὔτε ἐν ἄλλῳ τινὶ τόπῳ καταχωρῖσαι μᾶλλον, ἢ τῷ προοιμίῳ τῆς πραγματείας. Τὴν μὲν οὖν ὑπόθεσιν ὅτι καλὴν εἴληφα, καὶ μεγαλοπρεπῆ, καὶ πολλοῖς ὠφέλιμον, οὐ μακρῶν οἶμαι δεήσειν λόγων, τοῖς γε δὴ μὴ παντάπασιν ἀπείρως ἔχουσι τῆς κοινῆς ἱστορίας. Εἰ γάρ τις, ἐπιστήσας τὴν διάνοιαν ἐπὶ τὰς παραδεδομένας ἐκ τοῦ παρεληλυθότος χρόνου πόλεών τε καὶ ἐθνῶν ἡγεμονίας, ἔπειτα χωρὶς ἑκάστην σκοπῶν, καὶ παρ᾽ ἀλλήλας ἐξετάζων, διαγνῶναι βουληθείη, τίς αὐτῶν ἀρχήν τε μεγίστην ἐκτήσατο, καὶ πράξεις ἐπεδείξατο λαμπροτάτας, ἐν εἰρήνῃ τε καὶ κατὰ πολέμους, μακρῷ δή τινι τὴν Ῥωμαίων ἡγεμονίαν ἁπάσας ὑπερβεβλημένην ὄψεται,

τὰς πρὸ αὐτῆς μνημονευομένας, ȣ̓ μόνον κατὰ τὸ μέγεθος τῆς ἀρχῆς, καὶ κατὰ τὸ κάλλος τῶν πράξεων, ἃς ȣ̓́πω κεκόσμηκε λόγος ȣ̓δεὶς ἀξίως, ἀλλὰ καὶ κατὰ τὸ μῆκος τȣ͂ περιειληφότος αὐτὴν χρόνȣ μέχρι τῆς καθ᾽ ἡμᾶς ἡλικίας. Ἡ μὲν γὰρ Ἀσσυρίων ἀρχὴ, παλαιά τις ȣ̓͂σα, καὶ εἰς τȣ̀ς μυθικȣ̀ς ἀναγομένη χρόνȣς, ὀλίγȣ τινὸς ἐκράτησε τῆς Ἀσίας μέρȣς. Ἡ δὲ Μηδικὴ, καθελȣ͂σα τὴν Ἀσσυρίων, καὶ μείζονα δυναστείαν περιβαλομένη, χρόνον ȣ̓ πολὺν κατέσχεν, ἀλλ᾽ ἐπὶ τῆς τετάρτης κατελύθη γενεᾶς. Πέρσαι δὲ, οἱ Μήδȣς καταγωνισάμενοι, τῆς μὲν Ἀσίας ὀλίγȣ δεῖν πάσης τελευτῶντες ἐκράτησαν· ἐπιχειρήσαντες δὲ καὶ τοῖς Εὐρωπαίοις ἔθνεσιν, ȣ̓ πολλὰ ἐπηγάγοντο, χρόνον τε ȣ̓ πολλῷ πλείονα διακοσίων ἐτῶν ἔμειναν ἐπὶ τῆς ἀρχῆς. Ἡ δὲ Μακεδονικὴ δυναστεία, τὴν Περσῶν καθελȣ͂σα ἰσχὺν, μεγέθει μὲν ἀρχῆς ἁπάσας ὑπερεβάλετο τὰς πρὸ αὐτῆς, χρόνον δὲ ȣ̓δὲ αὐτὴ πολὺν ἤνθησεν, ἀλλὰ μετὰ τὴν Ἀλεξάνδρȣ τελευτὴν ἐπὶ τὸ χεῖρον ἤρξατο φέρεσθαι. Διασπασθεῖσα γὰρ εἰς πολλȣ̀ς ἡγεμόνας εὐθὺς ἀπὸ τῶν διαδόχων, καὶ μετ᾽ ἐκείνȣς ἄχρι τῆς δευτέρας ἢ τρίτης ἰσχύσασα προελθεῖν γενεᾶς, ἀσθενὴς αὐτὴ δι᾽ ἑαυτῆς ἐγένετο, καὶ τελευτῶσα ὑπὸ Ῥωμαίων ἠφανίσθη· καὶ ȣ̓δὲ αὐτὴ μέντοι πᾶσαν ἐποιήσατο γῆν τε καὶ θάλασσαν ὑπήκοον. Οὔτε γὰρ Λιβύης, ὅτι μὴ τῆς πρὸς Αἰγύπτῳ, πολλῆς

ȣ̓́σης,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0040-0

ὕσης, ἐκράτησεν, ὔτε τὴν Εὐρώπην ὅλην ὑπηγάγετο, ἀλλὰ τῶν μὲν βορείων αὐτῆς μερῶν μέχρι Θρᾴκης προῆλθε, τῶν δὲ ἑσπερίων ἄχρι τῆς Ἀδριανῆς κατέβη θαλάσσης. Αἱ μὲν ὖν ἐπιφανέςαται τῶν πρόσθεν ἡγεμονιῶν, ἃς παρειλήφαμεν ἐκ τῆς ἱςορίας, τοσαύτην ἀκμήν τε καὶ ἰσχὺν λαβῦσαι, κατελύθησαν. Τὰς γὰρ Ἑλληνικὰς δυνάμεις ὐκ ἄξιον αὐταῖς ἀντιπαρεξετάζειν, ὔτε μέγεθος ἀρχῆς, ὔτε χρόνον ἐπιφανείας τοσῦτον, ὅσον ἐκεῖναι, λαβύσας. Ἀθηναῖοι μὲν γὰρ αὐτῆς μόνον ἦρξαν τῆς παραλίυ, δυοῖν δέοντα ἑβδομήκοντα ἔτη, καὶ ὐδὲ ταύτης ἁπάσης, ἀλλὰ τῆς ἐντὸς Εὐξείνυ τε πόντυ, καὶ τῦ Παμφυλίυ πελάγυς, ὅτε μάλιςα ἐν θαλάσσῃ ἐκράτυν. Λακεδαιμόνιοι δὲ, Πελοποννήσυ καὶ τῆς ἄλλης κρατῦντες Ἑλλάδος, ἕως Μακεδονίας τὴν ἀρχὴν πρὐβίβασαν, ἐπαύθησαν δὲ ὑπὸ Θηβαίων, ὔτε ὅλα ἔτη τριάκοντα τὴν ἀρχὴν κατασχόντες. Ἡ δὲ Ῥωμαίων πόλις ἁπάσης μὲν ἄρχει γῆς, ὅση μὴ ἀνέμβατός ἐςιν, ἀλλ᾽ ὑπ᾽ ἀνθρώπων κατοικεῖται· πάσης δὲ κρατεῖ θαλάσσης, ὐ μόνον τῆς ἐντὸς Ἡρακλειῶν ςηλῶν, ἀλλὰ καὶ τῆς Ὠκεανίτιδος, ὅση πλεῖσθαι μὴ ἀδύνατός ἐςι, πρώτη καὶ μόνη τῶν ἐκ τῦ παντὸς αἰῶνος μνημονευομένων ἀνατολὰς καὶ δύσεις ὅρυς ποιησαμένη τῆς δυναςείας. Χρόνος τε αὐτῇ τῦ κράτυς ὐ βραχὺς, ἀλλ᾽ ὅσος ὐδεμιᾷ τῶν ἄλλων ὔτε πόλεων ὔτε βασιλειῶν. Εὐθὺς μὲν γὰρ ἐξ ἀρχῆς μετὰ τὸν οἰκισμὸν τὰ

τὰ πλησίον ἔθνη, πολλὰ καὶ μάχιμα ὄντα, προσηγάγετο, καὶ προὔβαινεν, ἀεὶ πᾶν δουλουμένη τὸ ἀντίπαλον· ταῦτα δὲ πέντε καὶ τετταράκοντα ἤδη πρὸς τοῖς ἑπτακοσίοις ἔτεσίν ἐστιν εἰς ὑπάτους, Κλαύδιον Νέρωνα, τὸ δεύτερον ὑπατεύοντα, καὶ Πίσωνα Καλπέρνιον, οἳ κατὰ τὴν τρίτην ἐπὶ ταῖς ἐννενήκοντα καὶ ἑκατὸν ὀλυμπιάσιν ἀπεδείχθησαν. Ἐξ οὗ δὲ ὅλης ἐκράτησεν Ἰταλίας, καὶ ἐπὶ τὴν ἁπάντων ἀρχὴν ἐθάῤῥησε προελθεῖν, ἐκβαλοῦσα μὲν ἐκ τῆς θαλάττης Καρχηδονίους, οἳ πλείστην ἔσχον ναυτικὴν δύναμιν, ὑποχείριον δὲ λαβοῦσα Μακεδονίαν, ἣ τέως ἐδόκει μέγιστον ἰσχύειν κατὰ γῆν· οὐδὲν ἔτι ἀντίπαλον ἔχουσα, οὔτε βάρβαρον φῦλον, οὔτε Ἑλληνικὸν, γενεὰν ἑβδόμην ἤδη τὴν ἐπ' ἐμοῦ διαμένει παντὸς ἄρχουσα τόπου. Ἔθνος δὲ οὐδὲ ἓν, ὡς εἰπεῖν, ἐστὶν, ὃ περὶ τῆς κοινῆς ἡγεμονίας, ἢ τοῦ μὴ ἄρχεσθαι, πρὸς αὐτὴν διαφέρεται. Ἀλλὰ γὰρ ὅτι μὲν οὔτε τὴν ἐλαχίστην τῶν ὑποθέσεων προῄρημαι, καθάπερ ἔφην, οὔτε περὶ φαύλας καὶ ἀσήμους πράξεις ἔγνωκα διατρίβειν, ἀλλὰ περί τε πόλεως γράφω τῆς περιφανεστάτης, καὶ περὶ πράξεων, ὧν οὐκ ἂν ἔχοι τις ἐπιδείξασθαι λαμπροτέρας, οὐκ οἶδ', ὅτι δεῖ πλείω λέγειν. Ὅτι δ' οὐκ ἄνευ λογισμοῦ καὶ προνοίας ἔμφρονος ἐπὶ τὰ πάλαι τῶν ἱστορουμένων περὶ αὐτῆς ἐτράπην, ἀλλ' ἔχων εὐλογίστους ἀποδοῦναι τῆς προαιρέσεως αἰτίας, ὀλίγα βούλομαι προειπεῖν, ἵνα μή τινες ἐπιτιμήσωσί μοι τῶν

πρὸς

πρὸς ἅπαντα φιλαιτίων, ὀδὲν ὄπω τῶν μελλόντων δηλῶσθαι προακηκοότες, ὅτι, τῆς ἀοιδίμυ γενομένης καθ᾽ ἡμᾶς πόλεως ἀδόξυς πάνυ καὶ ταπεινὰς τὰς πρώτας ἀφορμὰς λαβύσης, καὶ ὀκ ἀξίας ἀναγραφῆς ἱςορικῆς, ὀ πολλαῖς δὲ γενεαῖς πρότερον εἰς ἐπιφάνειαν καὶ δόξαν ἀφιγμένης, ἐξ ὗ τάς τε Μακεδονικὰς καθεῖλε δυναςείας, καὶ τὸς Φοινικὸς κατώρθωσε πολέμυς, ἐξόν μοι τῶν ἐνδόξων τινὰς λαβεῖν ὑποθέσεων, ἐπὶ τὴν ὀδεν ἔχυσαν ἐπιφανὲς ἀρχαιολογίαν ἀπέκλινα. Ἔτι γὰρ ἀγνοεῖται παρὰ τοῖς Ἕλλησιν ὀλίγυ δεῖν πᾶσιν ἡ παλαιὰ τῆς Ῥωμαίων πόλεως ἱςορία, καὶ δόξαι τινὲς ὀκ ἀληθεῖς, ἀλλ᾽ ἐκ τῶν ἐπιτυχόντων ἀκυσμάτων τὴν ἀρχὴν λαβῦσαι, τὸς πολλὸς ἐξηπατήκασιν, ὡς ἀνεςίυς μέν τινας, καὶ πλανήτας, καὶ βαρβάρυς, καὶ ὀδὲ τύτυς ἐλευθέρυς, οἰκιςὰς ἐχομένης· ὀ δι᾽ εὐσέβειαν δὲ, καὶ δικαιοσύνην, καὶ τὴν ἄλλην ἀρετὴν ἐπὶ τὴν ἁπάντων ἡγεμονίαν σὺν χρόνῳ παρελθύσης, ἀλλὰ δι᾽ αὐτοματισμόν τινα καὶ τύχην ἄδικον, εἰκῆ δωρυμένην τὰ μέγιςα τῶν ἀγαθῶν τοῖς ἀνεπιτηδειοτάτοις. Καὶ οἵ γε κακοηθέςεροι κατηγορεῖν εἰώθασι τῆς τύχης κατὰ τὸ φανερὸν, ὡς βαρβάρων τοῖς πονηροτάτοις τὰ τῶν Ἑλλήνων ποριζομένης ἀγαθά. Καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν, ὅπυ γε καὶ τῶν συγγραφέων τινὲς ἐτόλμησαν, ἐν ταῖς ἱςορίαις ταῦτα γράψαντες, καταλιπεῖν βασιλεῦσι βαρβάροις, μισῦσι τὴν ἡγεμονίαν, οἷς δυλεύον-

δουλεύοντες αὐτοὶ, καὶ τὰ καθ' ἡδονὰς ὁμιλοῦντες διετέλεσαν, οὔτε δικαίας οὔτε ἀληθεῖς ἱστορίας χαριζόμενοι. Ταύτας δὲ τὰς πεπλανημένας, ὥσπερ ἔφην, ὑπολήψεις ἐξελέσθαι τῆς διανοίας τῶν πολιτῶν προαιρούμενος, καὶ ἀντικατασκευάσαι τὰς ἀληθεῖς, περὶ μὲν τῶν οἰκισάντων τὴν πόλιν, οἵτινες ἦσαν, καὶ κατὰ τίνας ἕκαστοι καιροὺς συνῆλθον, καὶ τίσι τύχαις χρησάμενοι τὰς πατρίους οἰκήσεις ἐξέλιπον, εν ταύτῃ δηλώσω τῇ γραφῇ, δι' ἧς Ἕλληνάς τε αὐτοὺς ὄντας ἐπιδείξειν ὑπισχνοῦμαι, καὶ οὐκ ἐκ τῶν ἐλαχίστων ἢ φαυλοτάτων ἐθνῶν συνεληλυθότας. Περὶ δὲ τῶν πράξεων, ἃς μετὰ τὸν οἰκισμὸν εὐθέως ἐπεδείξαντο, καὶ περὶ τῶν ἐπιτηδευμάτων, ἐξ ὧν εἰς τοσαύτην ἡγεμονίαν προῆλθον οἱ μετ' αὐτοὺς, ἀπὸ τῆς μετὰ ταύτην ἀρξάμενος ἀναγραφῆς ἀφηγήσομαι, παραλιπὼν οὐδὲν, ὅση μοι δύναμις, τῶν ἀξίων ἱστορίας, ἵνα τότε μαθοῦσι τὴν ἀλήθειαν, ἃ προσήκει καὶ περὶ τῆς πόλεως τῆσδε παραστῇ *) φρονεῖν, εἰ μὴ παντάπασιν ἀγρίως καὶ δυσμενῶς διάκεινται πρὸς αὐτὴν, καὶ μήτε ἄχθεσθαι τῇ ὑποτάξει κατὰ τὸ εἰκὸς γινομένῃ, (φύσεως γὰρ δὴ νόμος ἅπασι κοινὸς, ὃν οὐδεὶς καταλύσει χρόνος, ἄρχειν ἀεὶ τῶν ἡττόνων τοὺς κρείττονας) μήτε κατηγορεῖν τῆς τύχης, ὡς οὐκ ἐπιτηδείῳ πόλει τηλικαύτην ἡγεμονίαν, καὶ τοσοῦτον ἤδη χρόνον, προῖκα δωρη-

*) An παραστῆναι, *opinari*, *ſentire*, deleto gloſſemate φρονεῖν?

δωρησαμένης· μαθȣ̑σι γε δὴ παρὰ τῆς ἱςορίας, ὅτι μυρίας ἤνεγκεν ἀνδρῶν ἀρετὰς εὐθὺς ἐξ ἀρχῆς μετὰ τὸν οἰκισμὸν, ὧν ȣ̓́τε εὐσεβεςέρȣς, ȣ̓́τε δικαιοτέρȣς, ȣ̓́τε σωφροσύνῃ πλείονι παρὰ πάντα τὸν βίον χρησαμένȣς, ȣ̓δέ γε τὰ πολέμια κρείττȣς ἀγωνισὰς, ȣ̓δεμία πόλις ἤνεγκεν, ȣ̓́τε Ἑλλὰς, ȣ̓́τε βάρβαρος· εἰ δὲ, ἀπέςω τȣ̑ λόγȣ τὸ ἐπίφθονον· ἔχει γάρ τι καὶ τοιȣ̑τον ἡ τῶν παραδόξων καὶ θαυμαςῶν ὑπόσχεσις. Οἱ δὲ σύμπαντες, οἱ τοσȣ̑τον περιθέντες αὐτῇ δυναςείας μέγεθος, ἀγνοȣ̑νται πρὸς Ἑλλήνων, ȣ̓ τυχόντες ἀξιολόγȣ συγγραφέως. Ουδεμία γὰρ ἀκριβὴς ἐξελήλυθε περὶ αὐτῶν Ἑλληνὶς ἱςορία μέχρι τῶν καθ᾽ ἡμᾶς χρόνων, ὅτι μὴ κεφαλαιώδεις ἐπιτομαὶ, πάνυ βραχεῖαι· πρῶτον μὲν, ὅσα κἀμὲ εἰδέναι, τὴν Ῥωμαϊκὴν ἀρχαιολογίαν ἐπιδραμόντος Ἱερωνύμȣ τȣ̑ Καρδιανȣ̑ συγγραφέως, ἐν τῇ περὶ τῶν ἐπιγόνων πραγματείᾳ· ἔπειτα Τιμαίȣ τȣ̑ Σικελιώτȣ, τὰ μὲν ἀρχαῖα τῶν ἱςοριῶν ἐν ταῖς κοιναῖς ἱςορίαις ἀφηγησαμένȣ, τȣ̀ς δὲ πρὸς Πύῤῥον τὸν Ἠπειρώτην πολέμȣς εἰς ἰδίαν καταχωρίσαντος πραγματείαν· ἅμα δὲ τȣ́τοις Ἀντιγόνȣ τε καὶ Πολυβίȣ, καὶ Σιληνȣ̑, καὶ μυρίων ἄλλων, τοῖς αὐτοῖς πράγμασιν ȣ̓χ ὁμοίως ἐπιβαλόντων· ὧν ἕκαςος ὀλίγα, καὶ ȣ̓δὲ αὐτὰ διεσπȣδασμένως, ȣ̓δὲ ἀκριβῶς, ἀλλ᾽ ἐκ τῶν ἐπιτυχόντων ἀκȣσμάτων συνθεὶς, ἀνέγραψεν. Ὁμοίας δὲ τȣ́τοις καὶ ȣ̓δὲν διαφόρȣς ἐξέδωκαν ἱςορίας, καὶ Ῥωμαίων ὅσοι τὰ

παλαιὰ ἔργα τῆς πόλεως Ἑλληνικῇ διαλέκτῳ συνέγραψαν· ὧν εἰσὶ πρεσβύτατοι Κοΐντος Φάβιος, Λεύκιος Κίγκιος, ἀμφότεροι κατὰ τὰς Φοινικὰς ἀκμάσαντες πολέμους. Τούτων δὲ τῶν ἀνδρῶν ἑκάτερος, οἷς μὲν αὐτὸς ἔργοις παρεγένετο, διὰ τὴν ἐμπειρίαν ἀκριβῶς ἀνέγραψε· τὰ δὲ ἀρχαῖα, τὰ μετὰ τὴν κτίσιν τῆς πόλεως γενόμενα, κεφαλαιωδῶς ἐπέδραμε. Διὰ ταύτας μὲν δὴ τὰς αἰτίας ἔδοξέ μοι, μὴ παρελθεῖν καλὴν ἱστορίαν ἐγκαταλειφθεῖσαν ὑπὸ τῶν πρεσβυτέρων ἀμνημόνευτον, ἐξ ἧς ἀκριβῶς γραφείσης συμβήσεται τὰ κράτιστα καὶ δικαιότατα τῶν ἔργων, τοῖς μὲν ἐκπεπληρωκόσι τὴν ἑαυτῶν μοῖραν, ἀνδράσιν ἀγαθοῖς, δόξης αἰωνίου τυγχάνειν, καὶ πρὸς τῶν ἐπιγιγνομένων ἐπαινεῖσθαι, (ἃ ποιεῖ θνητὴν φύσιν ὁμοιοῦσθαι τῇ θείᾳ, καὶ μὴ συναποθνήσκειν αὐτοῖς τὰ ἔργα τοῖς σώμασι) τοῖς δὲ ἀπ' ἐκείνων τῶν ἰσοθέων ἀνδρῶν νῦν τε οὖσι, καὶ ὕστερον ἐσομένοις, μὴ τὸν ἥδιστόν τε καὶ ῥᾶστον αἱρεῖσθαι τῶν βίων, ἀλλὰ τὸν εὐγενέστατον καὶ φιλοτιμώτατον, ἐνθυμουμένοις, ὅτι τοὺς εἰληφότας καλὰς τὰς πρώτας ἐκ τοῦ γένους ἀφορμὰς μέγα ἐφ' ἑαυτοῖς προσήκει φρονεῖν, καὶ μηδὲν ἀνάξιον ἐπιτηδεύειν τῶν προγόνων. Εμοὶ δὲ, ὃς οὐχὶ κολακείας χάριν ἐπὶ ταύτην ἀπέκλινα τὴν πραγματείαν, ἀλλὰ τῆς ἀληθείας καὶ τοῦ δικαίου προνοούμενος, ὧν δεῖ στοχάζεσθαι πᾶσαν ἱστορίαν, πρῶτον μὲν ἐπιδείξασθαι τὴν ἐμαυτοῦ διάνοιαν,

ὅτι χρηστὴ πρὸς ἅπαντας ἀνθρώπους ἐστὶ, τοὺς ἀγαθοὺς, καὶ φιλοθεώρους τῶν καλῶν ἔργων καὶ μεγάλων· ἔπειτα χαριστηρίους ἀμοιβὰς ἃς ἐμοὶ δύναμις ἦν, ἀποδοῦναι τῇ πόλει, παιδείας τε μεμνημένῳ, καὶ τῶν ἄλλων ἀγαθῶν, ὅσων ἀπέλαυσα, διατρίβων ἐν αὐτῇ. Ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῆς προαιρέσεως λόγον, ἔτι βούλομαι καὶ περὶ τῶν ἀφορμῶν εἰπεῖν, αἷς ἐχρησάμην, ὅτ᾽ ἔμελλον ἐπιχειρεῖν τῇ γραφῇ. Ἴσως γὰρ οἱ προανεγνωκότες Ἱερώνυμον, ἢ Τίμαιον, ἢ Πολύβιον, ἢ τῶν ἄλλων τινὰ συγγραφέων, ὑπὲρ ὧν ἐποιησάμην λόγον ὀλίγῳ πρότερον, ὡς ὑποσεσυρκότων τὴν γραφὴν, πολλὰ τῶν ὑπ᾽ ἐμοῦ γραφομένων οὐχ εὑρηκότες παρ᾽ ἐκείνοις κείμενα, σχεδιάζειν ὑπολήψονταί με, καὶ, πόθεν εἰς ἐμὲ ἡ τούτων γνῶσις παραγέγονεν, ἀξιώσουσι μαθεῖν. Ἵνα δὴ μὴ τοιαύτη δόξα παραστῇ τισι περὶ ἐμοῦ, βέλτιον, ἀφ᾽ ὧν ὡρμήθην λόγων τε καὶ ὑπομνηματισμῶν, διελθεῖν. Ἐγὼ καταπλεύσας εἰς Ἰταλίαν, ἅμα τῷ καταλυθῆναι τὸν ἐμφύλιον πόλεμον ὑπὸ τοῦ Σεβαστοῦ Καίσαρος, ἑβδόμης καὶ ὀγδοηκοστῆς καὶ ἑκατοστῆς ὀλυμπιάδος μεσούσης, καὶ τὸν ἐξ ἐκείνου χρόνον, ἐτῶν δύο καὶ εἴκοσι μέχρι τοῦ παρόντος γενόμενον ἐν Ῥώμῃ διατρίψας, διάλεκτόν τε τὴν Ῥωμαϊκὴν ἐκμαθὼν, καὶ γραμμάτων ἐπιχωρίων λαβὼν ἐπιστήμην, ἐν παντὶ τούτῳ χρόνῳ τὰ συντείνοντα πρὸς τὴν ὑπόθεσιν ταύτην διετέλουν πραγματευόμενος. Καὶ τὰ μὲν παρὰ τῶν λογιωτάτων ἀνδρῶν, οἷς

εἰς

εἰς ὁμιλίαν ἦλθον, διδαχῇ παραλαβὼν, τὰ δὲ ἐκ τῶν ἱστοριῶν ἀναλεξάμενος, ἃς οἱ πρὸς αὐτῶν ἐπαινούμενοι Ῥωμαῖοι συνέγραψαν, Πόρκιός τε Κάτων, καὶ Φάβιος Μάξιμος, καὶ Οὐαλέριος Ἀντιὰς, καὶ Λικίννιος Μάκερ, Αἴλιοί τε καὶ Γέλλιοι, καὶ Καλπούρνιοι, καὶ ἕτεροι πρὸς τούτοις συχνοὶ ἄνδρες οὐκ ἀφανεῖς, ἀπ' ἐκείνων ὁρμώμενος τῶν πραγματειῶν, (εἰσὶ δὲ ταῖς Ἑλληνικαῖς χρονογραφίαις ἐοικυῖαι) τότε ἐπεχείρησα τῇ γραφῇ. Ταῦτα μὲν ὑπὲρ ἐμαυτοῦ διείλεγμαι· λοιπόν ἐστι δέ μοι, καὶ περὶ τῆς ἱστορίας αὐτῆς προειπεῖν, τίσι (τε αὐτὴν περιλαμβάνω) χρόνοις, καὶ περὶ τίνων πραγμάτων ποιοῦμαι τὴν διήγησιν, καὶ ποταπὸν ἀποδίδωμι τὸ σχῆμα τῇ πραγματείᾳ. Ἄρχομαι οὖν τῆς ἱστορίας ἀπὸ τῶν παλαιοτάτων μύθων, οὓς παρέλιπον οἱ πρὸ ἐμοῦ γενόμενοι συγγραφεῖς, χαλεποὺς ὄντας ἄνευ πραγματείας μεγάλης ἐξευρεθῆναι. Καταβιβάζω δὲ τὴν διήγησιν ἐπὶ τὴν ἀρχὴν τοῦ πρώτου Φοινικοῦ πολέμου, τὴν γενομένην ἐνιαυτῷ τρίτῳ τῆς ὀγδόης καὶ εἰκοστῆς ἐπὶ ταῖς ἑκατὸν ὀλυμπιάσιν. Ἀφηγοῦμαι δὲ τούς τε ὀθνείους πολέμους τῆς πόλεως ἅπαντας, οὓς ἐν ἐκείνοις τοῖς χρόνοις ἐπολέμησε, καὶ τὰς ἐμφυλίους στάσεις, ὁπόσας ἐστασίασεν, ἐξ οἵων αἰτιῶν ἐγένοντο, καὶ δι' οἵων τρόπων τε καὶ λόγων κατελύθησαν. Πολιτειῶν τε ἰδέας διέξειμι πάσας, ὅσαις ἐχρήσατο, βασιλευομένη τε, καὶ μετὰ τὴν κατάλυσιν τῶν μονάρχων,

χων, καὶ τίς ἦν αὐτῶν ἑκάστης ὁ κόσμος. Ἔθη τε τὰ κράτιστα, καὶ νόμους τοὺς ἐπιφανεστάτους διηγοῦμαι, καὶ συλλήβδην ὅλον ἐπιδείκνυμι τὸν ἀρχαῖον βίον τῆς πόλεως. Σχῆμα δὲ ἀποδίδωμι τῇ πραγματείᾳ, οὔθ' ὁποῖον οἱ τοὺς πολέμους ἀναγράψαντες ἀποδεδώκασι ταῖς ἱστορίαις, οὔθ' ὁποῖον οἱ τὰς πολιτείας αὐτὰς ἐφ' ἑαυτῶν διηγησάμενοι, οὔτε ταῖς χρονικαῖς παραπλήσιον, ἃς ἐξέδωκαν οἱ τὰς Ἀτθίδας πραγματευόμενοι· (μονοειδεῖς γὰρ ἐκεῖναί τε καὶ ταχὺ προσιστάμεναι τοῖς ἀκούουσιν·) ἀλλ' ἐξ ἁπάσης ἰδέας μικτὸν, ἐναγωνίου τε καὶ θεωρητικῆς, ἵνα καὶ τοῖς περὶ τοὺς πολιτικοὺς διατρίβουσι λόγους, καὶ τοῖς περὶ τὴν φιλόσοφον ἐσπουδακόσι θεωρίαν, καὶ εἴ τισιν ἀοχλήτου δεήσει διαγωγῆς ἐν ἱστορικοῖς ἀναγνώσμασιν, ἀποχρώντως ἔχουσα φαίνηται. Ἡ μὲν οὖν ἱστορία περὶ τοιούτων τε γενήσεται πραγμάτων, καὶ τοιούτου τεύξεται σχήματος· ὁ δὲ συντάξας αὐτὴν, εἰμὶ Διονύσιος Ἀλεξάνδρου Ἁλικαρνασσεύς.

* * * * * * * * * * * * *

## E DIONYSII HAL. ARCHAEOL.

### L. V. p. 295 ED. SYLBVRG.

### DE HORATIO COCLITE.

Οἱ τὴν ὁρμὴν τῶν πολεμίων ἐπισχόντες, καὶ διασώσαντες ὅλην τὴν στρατιὰν, τρεῖς ἄνδρες ἐγένοντο, Σπόριος Λάρκιος καὶ Τῖτος

Ἑρμήνιος, οἱ τὸ δεξιὸν ἔχοντες κέρας, ἐκ τῶν πρεσβυτέρων· Πόπλιος δὲ Ὁράτιος, ὁ καλȣ́μενος Κόκλης, ἐκ τȣ̃ κατὰ τὴν ὄψιν ἐλαττώματος, ἐκκοπεὶς ἐν μάχῃ τὸν ἕτερον τῶν ὀφθαλμῶν, ἐκ τῶν νεωτέρων, μορφῆ τε κάλλιςος ἀνθρώπων καὶ ψυχὴν ἄριςος. Οὗτος ἀδελφιδȣ̃ς μὲν ἦν Ὁρατίȣ Μάρκου, θατέρȣ τῶν ὑπάτων, τὸ δ᾽ εὐγενὲς κατῆγεν ἀφ᾽ ἑνὸς τῶν τριδύμων, Ὁρατίȣ Μάρκȣ, τȣ̃ νικήσαντος τȣ̀ς Ἀλβανȣ̀ς τριδύμȣς, ὅτε περὶ τῆς ἡγεμονίας αἱ πόλεις εἰς πόλεμον καταςᾶσαι συνέβησαν, μὴ πάσαις ἀποκινδυνεῦσαι ταῖς δυνάμεσιν, ἀλλὰ τρισὶν ἀνδράσιν ἀφ᾽ ἑκατέρας, ὡς ἐν τοῖς προτέροις δεδήλωκα λόγοις. Οὗτοι δὴ μόνοι κατὰ νώτȣ λαβόντες τὴν γέφυραν, εἶργον τȣ̀ς πολεμίȣς τῆς διαβάσεως μέχρι πολλȣ̃, καὶ διέμενον ἐπὶ τῆς αὐτῆς ςάσεως, βαλλόμενοί τε ὑπὸ πολλῶν παντοδαποῖς βέλεσι, καὶ ἐκ χειρὸς παιόμενοι τοῖς ξίφεσιν, ἕως ἅπασα ἡ ςρατιὰ διῆλθε τὸν ποταμόν. Ὡς δ᾽ ἐν ἀσφαλεῖ τȣ̀ς σφετέρȣς ἔδοξαν γεγονέναι, δύο μὲν ἐξ αὐτῶν, Ἑρμήνιός τε καὶ Λάρκιος, διεφθαρμένων αὐτοῖς ἤδη τῶν σκεπαςηρίων διὰ τὰς συνεχεῖς πληγὰς, ἐχώρȣν ὑπὸ πόδα· Ὁράτιος δὲ μόνος, ἀνακαλȣμένων αὐτὸν ἀπὸ τῆς πόλεως τῶν τε ὑπάτων καὶ τῶν ἄλλων πολιτῶν, καὶ περὶ παντὸς ποιȣμένων, σωθῆναι τοιȣ̃τον ἄνδρα τῇ πατρίδι καὶ τοῖς γειναμένοις, ȣ̓κ ἐπείσθη, ἀλλ᾽ ἔμενεν, ἔνθα καὶ πρῶτον ἔςη, κελεύσας τοῖς περὶ τὸν

Ἑρμή-

Ἑρμήνιον, λέγειν πρὸς τὸς ὑπάτυς, ὡς αὐτῦ φράζοντος, ἀποκόπτειν τὴν γέφυραν ἀπὸ τῆς πόλεως ἐν τάχει· (ἦν δὲ μία κατ᾽ ἐκείνυς τὺς χρόνυς ξυλόφρακτος, ἄνευ σιδήρυ δεδεμένη ταῖς σανίσιν αὐταῖς, ἣν καὶ μέχρις ἐμῦ τοιαύτην φυλάττυσι Ῥωμαῖοι·) ἐπιςεῖλαι δὲ τοῖς ἀνδράσιν, ὅταν τὰ πλείω τῆς γεφύρας λυθῇ, καὶ βραχὺ τὸ λειπόμενον ᾖ μέρος, φρᾶσαι πρὸς αὐτὸν σημείοις τισὶν, ἢ φωνῇ γεγωνοτέρᾳ, τὰ λοιπὰ λέγων ἑαυτῷ μελήσειν. Ταῦτ᾽ ἐπικελευσάμενος τοῖς δυσὶν, ἐπ᾽ αὐτῆς ἵςαται τῆς γεφύρας, καὶ τῶν ὁμόσε χωρύντων ὓς μὲν τῷ ξίφει παίων, ὓς δὲ τῷ θυρεῷ προτρέπων, πάντας ἀνέςειλε τὺς ὁρμῶντας ἐπὶ τὴν γέφυραν· ὐκέτι γὰρ εἰς χεῖρας αὐτῷ χωρεῖν ἐτόλμων οἱ διώκοντες, ὡς μεμηνότι καὶ θανατῶντι· καὶ ἅμα ὔτε ῥᾴδιον αὐτῷ προσελθεῖν ὑπάρχον, ἐξ εὐωνύμων μὲν καὶ δεξιῶν ἔχοντι πρόβλημα τὸν ποταμὸν, ἐκ δὲ τῦ κατὰ πρόσωπον ὅπλων τε καὶ νεκρῶν σωρόν· ἀλλ᾽ ἄπωθεν ἀθρόοι ἑςῶτες, λόγχαις τε καὶ σανίσι καὶ λίθοις χειροπληθέσιν ἔβαλλον· οἷς δὲ μὴ παρείη ταῦτα, τοῖς ξίφεσι καὶ ταῖς ἀσπίσι τῶν νεκρῶν. Ὁ δὲ ἠμύνετο, τοῖς ἐκείνων χρώμενος ὅπλοις κατ᾽ αὐτῶν· καὶ ἔμελλεν, ὥσπερ εἰκὸς, εἰς ἀθρόυς βάλλων, ἀεί τινος τεύξεσθαι σκοπῦ. Ἤδη δὲ καταβελὴς ὢν, καὶ τραυμάτων πλῆθος ἐν πολλοῖς μέρεσι τῦ σώματος ἔχων, μίαν δὲ πληγὴν λόγχης, ἢ διὰ θατέρυ τῶν γλυτῶν ὑπὲρ τῆς κεφαλῆς

τȣ̃ μηρȣ̃ ἀντία ἐνεχθεῖσα, ἐκάκωσεν αὐτὸν ὀδύναις, καὶ τὴν βάσιν ἔβλαπτεν. Ἐπεὶ δὲ τῶν κατόπιν ἤκȣσεν ἐμβοησάντων, λελῦσθαι τῆς γεφύρας τὸ πλεῖον μέρος, καθέλκεται σὺν τοῖς ὅπλοις εἰς τὸν ποταμόν· καὶ διανηξάμενος τὸ ῥεῦμα χαλεπῶς πάνυ, (περὶ γὰρ τοῖς ὑπερείσμασι τῶν σανίδων σχιζόμενος ὁ ῥȣ̃ς ὀξὺς ἦν, καὶ δίνας ἐποίει μεγάλας) ἐξεκολύμβησεν εἰς τὴν γῆν, ȣ̓δὲν τῶν ὅπλων ἐν τῷ νῦν ἀποβαλών. Τȣ̃το τὸ ἔργον ἀθάνατον αὐτῷ δόξαν εἰργάσατο. Παραχρῆμά τε γὰρ οἱ Ῥωμαῖοι, στεφανώσαντες αὐτὸν, ἀπέφερον εἰς τὴν πόλιν ὑμνȣ̃ντες, ὡς τῶν ἡρώων ἕνα· καὶ πᾶς ὁ κατοικίδιος ὄχλος ἐξεχεῖτο, ποθῶν αὐτȣ̃, ἕως ἔτι περιῆν, θεάσασθαι τὴν τελευταίαν πρόσοψιν· ἐδόκει γὰρ ὑπὸ τῶν τραυμάτων ȣ̓κ εἰς μακρὰν διαφθαρήσεσθαι. Καὶ ἐπειδὴ διέφυγε τὸν θάνατον, εἰκόνα χαλκῆν ἔνοπλον ὁ δῆμος ἔστησεν αὐτῷ, τῆς ἀγορᾶς ἐν τῷ κρατίστῳ, καὶ χώραν ἐκ τῆς δημοσίας ἔδωκεν, ὅσην αὐτὸς ἐν ἡμέρᾳ μιᾷ ζεύγει βοῶν περιαρόσει. Χωρὶς δὲ τῶν δημοσίᾳ δοθέντων, κατὰ κεφαλὴν ἕκαστος ἀνδρῶν τε καὶ γυναικῶν, ὅτε μάλιστα δεινὴ σπάνις τῶν ἀναγκαίων ἐπιτηδείων ἅπαντας κατεῖχε, μιᾶς ἡμέρας τροφὴν ἐχαρίσαντο, μυριάδες ἀνθρώπων αἱ σύμπασαι πλείȣς ἢ τριάκοντα. Ὁράτιος μὲν δὴ τοιαύτην ἀποδειξάμενος ἀρετὴν ἐν τῷ τότε χρόνῳ, ζηλωτὸς μὲν, εἰ καί τις ἄλλος Ῥωμαίων, ἐγένετο, ἄχρηστος δὲ εἰς τὰ λοιπὰ πράγμα-

πράγματα τῆς πόλεως, διὰ τὴν πήρωσιν τῆς βάσεως· καὶ διὰ τὴν συμφορὰν ταύτην οὔτε ὑπατείας, οὔτε ἄλλης ἡγεμονίας στρατιωτικῆς οὐδεμιᾶς ἔτυχεν. Οὕτως μὲν δὴ θαυμαστὸν ἔργον ἀποδειξάμενος ἐν τῷ τότε ἀγῶνι Ῥωμαίοις, ἄξιος, εἴπερ τις καὶ ἄλλος ἐπ᾽ ἀνδρείᾳ διονομασθέντων, ἐπαινεῖσθαι.

## E IOSEPHI ARCHAEOLOG. III, 5.

### DE PROMVLGATA LEGE MOSAICA.

Μωϋσῆς, συγκαλέσας τὴν πληθὺν, αὐτὸς μὲν εἰς τὸ ὄρος ἀπέρχεσθαι τὸ Σιναῖον ἔλεγεν, ὡς συνεσόμενος τῷ Θεῷ, καί τινα λαβὼν παρ᾽ αὐτοῦ χρησμὸν ἐπανήξειν πρὸς αὐτούς· ἐκείνους δ᾽ ἐκέλευσε πλησίον μετασκηνῶσαι τῷ ὄρει, τὴν γειτνίασιν τοῦ Θεοῦ προτιμήσαντας. Ταῦτ᾽ εἰπὼν ἀνήει πρὸς τὸ Σιναῖον, ὑψηλότατον τῶν ἐν ἐκείνοις τοῖς χωρίοις ὀρῶν τυγχάνον, καὶ διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους καὶ τῶν κρημνῶν τὸ ἀπότομον ἀνθρώποις οὐ μόνον οὐκ ὂν ἀναβατὸν, ἀλλ᾽ οὐδὲ ὁραθῆναι δίχα πόνου τῆς ὄψεως δυνάμενον· ἄλλως τε καὶ διὰ τὸ λόγον εἶναι περὶ τούτου, τὸν θεὸν ἐν αὐτῷ διατρίβειν, φοβερὸν ἦν καὶ ἀπρόσιτον. Ἑβραῖοι δὲ κατὰ τὰς Μωϋσέως ἐντολὰς μετεσκήνουν, καὶ τὰς ὑπωρείας τοῦ



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0053-2

ὄρους κατελαμβάνοντο, ἠρμένοι ταῖς διανοίαις, ὡς μετὰ τῆς ἐπαγγελείας τῶν ἀγαθῶν, ἣν προὔτεινεν αὐτοῖς, ἐπανήξοντος Μωϋσέως παρὰ τοῦ Θεοῦ. Ἑορτάζοντες δὲ τὸν στρατηγὸν περιέμενον, ἁγνεύοντες τήν τε ἄλλην ἁγνείαν, καὶ ἀπὸ συνουσίας τῆς γυναικῶν ἡμέρας τρεῖς καθὼς ἐκεῖνος αὐτοῖς προεῖπε, καὶ παρακαλοῦντες τὸν Θεὸν, εὐμενῆ συμβαλόντα Μωϋσῇ δοῦναι δωρεὰν, ὑφ᾽ ἧς εὖ βιώσονται ταῖς τ᾽ οὖν διαίταις ἐχρῶντο πολυτελεστέραις καὶ τῷ κόσμῳ γυναιξὶν ὁμοῦ τε καὶ τέκνοις ἐκπρεπῶς ἤσκηντο.

2. Ἐπὶ δύο μὲν οὖν ἡμέρας εὐωχούμενοι διῆγον· τῇ τρίτῃ δὲ, πρὶν ἢ τὸν ἥλιον ἀνασχεῖν, νεφέλη τε ὑπερίζανε τοῦ παντὸς στρατοπέδου τῶν Ἑβραίων, οὐ πρότερον τοῦτο ἰδόντων γενόμενον, καὶ τὸ χωρίον, οὗ τὰς σκηνὰς ἦσαν πεποιημένοι, περιέγραφε. Καὶ τοῦ λοιποῦ παντὸς ἐν αἰθρίᾳ τυγχάνοντος, ἄνεμοί τε σφοδροὶ, λάβρον κινοῦντες ὑετὸν, κατήγιζον, ἀστραπαί τε ἦσαν φοβεραὶ τοῖς ὁρῶσιν, καὶ κεραυνοὶ κατενεχθέντες ἐδήλουν τὴν παρουσίαν τοῦ Θεοῦ, οἷς Μωϋσῆς ἤθελεν, εὐμενοῦς παρατυχόντος. Καὶ περὶ μὲν τούτων, ὡς βούλεται, φρονείτω ἕκαστος τῶν ἐντευξομένων· ἐμοὶ δὲ ἀνάγκη ταῦτα ἱστορεῖν, καθάπερ ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγέγραπται. Τούς γε μὴν Ἑβραίους τά τε ὁρώμενα, καὶ ὁ ταῖς ἀκοαῖς προσβάλλων ψόφος δεινῶς ἐτάραττεν· ἀήθεις τε γὰρ ἦσαν αὐτῶν, καὶ ὁ περὶ τοῦ ὄρους διαπεφοι-

πεφοιτηκὼς λόγος, ὡς εἰς αὐτὸ φοιτῶντος τȣ̃ Θεȣ̃, σφόδρα τὴν διάνοιαν αὐτῶν ἐξέπληττε. Κατεῖχον δὲ αὐτȣ̀ς πρὸς ταῖς σκηναῖς ἀχθόμενοι, καὶ τόν τε Μωϋσῆν ἀπολωλέναι νομίζοντες ὑπ᾽ ὀργῆς τȣ̃ Θεȣ̃, καὶ περὶ αὐτῶν ὅμοια προσδοκῶντες.

3. Οὕτω δ᾽ αὐτῶν διακειμένων, ἐπιφαίνεται Μωϋσῆς, γαῦρός τε καὶ μέγα φρονῶν. Ὀφθείς τε ȣ̃ν αὐτὸς ἀπαλλάσσει τȣ̃ δέȣς αὐτȣ̀ς, καὶ περὶ τῶν μελλόντων κρείττονας ὑπετίθετο τὰς ἐλπίδας· αἴθριός τε καὶ καθαρὸς ὁ ἀὴρ τῶν πρὸ ὀλίγȣ παθῶν ἦν, Μωϋσεώς παραγεγονότος. Ἐπὶ τȣ́τοις ȣ̃ν συγκαλεῖ τὸ πλῆθος εἰς ἐκκλησίαν, ἀκȣσόμενον, ὧν ὁ Θεὸς εἴποι πρὸς αὐτὸν. Καὶ συναθροισθέντων, ϛὰς ἐπὶ ὑψηλȣ̃ τινὸς, ὅθεν ἔμελλον ἅπαντες ἀκȣ́σεσθαι, Ὁ μὲν Θεὸς, εἶπεν. ὦ Ἑβραῖοι, καθάπερ καὶ πρότερον, εὐμενὴς προσεδέξατό με, καὶ βίον τε ὑμῖν εὐδαίμονα καὶ πολιτείας κόσμον ὑπαγορεύσας, πάρεστι καὶ αὐτὸς εἰς τὸ ϛρατόπεδον. Πρὸς γȣ̃ν αὐτȣ̃ καὶ τῶν ἔργων, ἃ δι᾽ ἐκεῖνον ἡμῖν ἤδη πέπρακται, μὴ καταφρονήσητε τῶν λεγομένων, εἰς ἐμὲ τὸν λέγοντα ἀφορῶντες, μήδ᾽ ὅτι γλῶττα ταῦτα ἀνθρωπίνη πρὸς ὑμᾶς λέγει· τὴν δ᾽ ἀρετὴν αὐτῶν κατανοήσαντες ἐπιγνώσεσθε καὶ τὸ μέγεθος τȣ̃ νενοηκότος, καὶ ἐπὶ συμφέροντι τῷ ἡμετέρῳ πρὸς ἐμὲ μὴ φθονήσαντος εἰπεῖν. Οὐ γὰρ Μωϋσῆς, ὁ Ἀμαράμȣ καὶ Ἰωχαβέλης υἱὸς, ἀλλ᾽ ὁ τὸν Νεῖλον ὑματωμέ-

τωμένον ἀναγκάσας ὑπερ ὑμῶν ῥῦηναι, καὶ ποικίλοις δαμάσας κακοῖς τὸ τῶν Αἰγυπτίων Φρόνημα, ὁ διὰ θαλάσσης ὁδὸν ὑμῖν παρασχὼν, ὁ καὶ τροφὴν ἐξ ὀρανȣ̃ μηχανησάμενος ἐλθεῖν ἀπορȣμένοις, ὁ ποτὸν ἐκ πέτρας ἀναβλύσας σπανίζȣσιν, δι᾽ ὃν Ἄδαμος τῶν ἀπὸ γῆς καρπῶν καὶ θαλάσσης μεταλαμβάνει, δι᾽ ὃν Νώεος ἐκ τῆς ἐπομβρίας διέφυγε, δι᾽ ὃν Ἄβραμος, ὁ ἡμέτερος πρόγονος, ἐξ ἀλήτȣ τὴν Χαναναίαν κατέσχε γῆν, δι᾽ ὃν Ἴσακος γηραιοῖς ἐτέχθη γονεῦσι, δι᾽ ὃν Ἰάκωβος δώδεκα παίδων ἀρεταῖς ἐκοσμήθη, δι᾽ ὃν Ἰώσηπος ἐδεσπότευσε τῆς Αἰγυπτίων δυνάμεως, ȣ̃τος ὑμῖν τȣ́τȣς χαρίζεται τȣ̀ς λόγȣς δι᾽ ἑρμηνέως ἐμȣ̃. Σεβάσμιοι δ᾽ ὑμῖν γενέσθωσαν, καὶ τέκνων περιμαχητότεροι καὶ γυναικῶν. Εὐδαίμονα γὰρ διάξετε βίον, τȣ́τοις ἑπόμενοι, καὶ γῆς ἀπολαύοντες καρπίμȣ, καὶ θαλάσσης ἀχειμάςȣ, καὶ τέκνων γονῆς, κατὰ φύσιν τικτομένων, καὶ πολεμίοις ἔσεσθε φοβεροί. Τῷ Θεῷ γὰρ εἰς ὄψιν ἐλθὼν ἀκροατὴς ἀφθάρτȣ φωνῆς ἐγενόμην. Οὕτως ἐκείνῳ τȣ̃ γένȣς ὑμῶν καὶ τῆς τȣ́τȣ μέλει διαμονῆς.

4. Ταῦτ᾽ εἰπὼν προάγει τὸν λαὸν γυναιξὶν ὁμȣ̃ καὶ τέκνοις, ὡς ἀκȣ́σαιεν τȣ̃ Θεȣ̃, διαλεγομένȣ πρὸς αὐτȣ̀ς περὶ τῶν πρακτέων, ἵνα μὴ βλαβείη τῶν λεγομένων ἡ ἀρετὴ ὑπὸ ἀνθρωπίνης γλώττης, ἀσθενῶς εἰς γνῶσιν αὐτοῖς παραδιδομένη· πάντες τε ἤκȣον φωνῆς, ὑψόθεν παραγενομένης εἰς ἅπαντας,

ὡς

ὡς διαφυγεῖν μηδένα καὶ λόγων, ὓς Μωϋσῆς ἐν ταῖς δύο πλαξὶν γεγραμμένυς κατέλιπεν, ὓς ὐ θεμιτόν ἐςιν ἡμῖν λέγειν φανερῶς πρὸς λέξιν, τὰς δὲ δυνάμεις αὐτῶν δηλώσωμεν.

5 Διδάσκει μὲν ὖν ἡμᾶς ὁ πρῶτος λόγος, ὅτι Θεός ἐςιν εἷς, καὶ δεῖ τῦτον σέβεσθαι μόνον. Ὁ δὲ δεύτερος κελεύει, μηδενὸς εἰκόνα ζώυ ποιήσαντας προσκυνεῖν. Ὁ τρίτος δὲ, ἐπὶ μηδενὶ φαύλῳ τὸν Θεὸν ὀμνῦναι. Ὁ δὲ τέταρτος, παρατηρεῖν τὰς ἑβδομάδας, ἀναπαυομένυς ἀπὸ παντὸς ἔργυ. Ὁ δὲ πέμπτος, γονεῖς τιμᾷν. Ὁ δὲ ἕκτος, ἀποσχέσθαι φόνυ. Ὁ δὲ ἕβδομος, μὴ μοιχεύειν. Ὁ δὲ ὄγδοος, μὴ κλοπὴν δρᾷν. Ὁ δὲ ἔννατος, μὴ ψευδομαρτυρεῖν. Ὁ δὲ δέκατος, μηδενὸς ἀλλοτρίυ ἐπιθυμίαν λαμβάνειν.

6. Καὶ τὸ μὲν πλῆθος, ἀκροασάμενον αὐτῦ τῦ Θεῦ, περὶ ὧν Μωϋσῆς διελέχθη, χαῖρον ἐπὶ τοῖς προειρημένοις τῦ συλλόγυ διελύθη· ταῖς δ' ἑξῆς, φοιτῶντες ἐπὶ τὴν σκηνὴν, ἠξίυν αὐτὸν καὶ νόμυς αὐτοῖς παρὰ τῦ Θεῦ κομίζειν. Ὁ δὲ τύτυς τε τίθεται, καὶ περὶ τῶν ὅλων, ὃν ἂν πραχθείη τρόπον, ἐν τοῖς αὖθις ἀπεσήμαινε χρόνοις, ὧν μνησθήσομαι κατὰ καιρὸν οἰκεῖον. Τὺς δὲ πλείονας τῶν νόμων εἰς ἑτέραν ἀνατίθεμαι γραφὴν, ἰδίαν περὶ αὐτῶν ποιησόμενος ἀφήγησιν.

7. Οὕτω δὲ τῶν πραγμάτων αὐτοῖς ἐχόντων, ὁ Μωϋσῆς πάλιν εἰς τὸ Σιναῖον ὄρος ἀνήει, προειπὼν τοῖς Ἑβραίοις, βλεπόντων

δ' αὐτῶν ἐποιεῖτο τὴν ἄνοδον. Καὶ χρόνȣ τριβομένȣ (τεσσαράκοντα γὰρ ἡμέρας διήγαγεν ἀπ' αὐτῶν) δέος εἶχε τȣ̀ς Ἑβραίȣς, μή τι Μωϋσῆς πάθοι, καὶ τῶν συντυχόντων δεινῶν ȣ̓κ ἔϛιν, ὃ ȣ̓́τως ἐλύπησεν αὐτȣ̀ς, ὡς τὸ νομίζειν, Μωϋσῆν ἀπολωλέναι. Ἦν γὰρ τοῖς ἀνθρώποις ἔρις, τῶν μὲν ἀπολωλέναι λεγόντων θηρίοις περιπεσόντα, (καὶ μάλιϛα, ὅσοι πρὸς αὐτὸν απεχθῶς ἦσαν διακείμενοι, ταύτην τὴν ψῆφον ἔφερον τῶν δὲ, πρὸς τὸ θεῖον ἀνακεχωρηκέναι. Τȣ̀ς δὲ σώφρονας, καὶ μηδέτερον τῶν λεγομένων εἰς ἡδονὴν λαμβάνοντας ἰδίαν, καὶ τὸ θηρίοις περιπεσόντα ἀποθανεῖν ἀνθρώπινον ἡγȣμένȣς, καὶ τὸ ὑπὸ τȣ͂ Θεȣ͂ πρὸς αὐτὸν μεταϛῆναι διὰ τὴν προσȣ͂σαν αρετὴν εικὸς νομίζοντας. πράως ἔχειν ȣ̓͂τος ὁ λογισμὸς ἐποίει· προϛάτȣ δὲ ἠρημῶσθαι καὶ κηδεμόνος ὑπολαμβάνοντες, οἵȣ τυχεῖν ȣ̓κ ἂν ἄλλȣ δύναιντο, σφόδρα λυπȣ́μενοι διετέλȣν, καὶ ȣ̓́τε ὑπονοεῖν αὐτȣ̀ς εἴατο προσδοκᾷν τι χρηϛὸν περὶ τανδρὸς, ȣ̓́τε μὴ λυπεῖσθαι καὶ κατηφιᾷν ἠδύναντο· τὸ δὲ ϛρατόπεδον ȣ̓κ ἐθάῤῥȣν μετάγειν, Μωϋσέως αὐτȣ̀ς ἐκεῖ παραμένειν προειρηκότος.

ȣ. Ἤδη δὲ τεσσαράκοντα ἡμερῶν διεληλυθυιῶν, καὶ τοσȣ́των νυκτῶν, παρῆν, ȣ̓δενὸς σιτίȣ τῶν τοῖς ἀνθρώποις νενομισμένων γεγευμένος. Χαρᾶς δ' ἐνέπλησε τὴν ϛρατιὰν ἐπιφανεὶς, καὶ τὴν τȣ͂ Θεȣ͂ πρόνοιαν, ἣν εἶχε περὶ αὐτῶν, ἀπεδήλȣ, τόν τε τρόπον, καθ'

ὃν

ὃν εὐδαιμονήσουσι πολιτευόμενοι, λέγων αὐτῷ κατὰ ταύτας ὑποθέσθαι τὰς ἡμέρας· καὶ σκηνὴν ὅτι βούλεται γενέσθαι αὐτῷ, εἰς ἣν κάτεισι πρὸς αὐτοὺς παραγινόμενος, ὅπως καὶ μεταβαίνοντες ἀλλαχοῦ ταύτην επαγώμεθα, καὶ μηκέτι δεώμεθα τῆς ἐπὶ τὸ Σιναῖον ἀνόδου, ἀλλ᾽ αὐτὸς ἐπιφοιτῶν συσκηνῇ. παρατυγχάνων ταῖς ἡμετέραις εὐχαῖς. Γενήσεται δὲ ἡ σκηνὴ μέτροις τε καὶ κατασκευῇ, οἷς αὐτὸς ὑπέδειξεν, ὑμῶν ἀόκνως ἐχόντων πρὸς τὸ ἔργον. Ταῦτ᾽ εἰπὼν, δύο πλάκας αὐτοῖς ἐπιδείκνυσι, ἐγγεγραμμένους ἐχούσας τοὺς δέκα λόγους, ἐν ἑκατέρᾳ πέντε, καὶ χεὶρ ἦν ἐπὶ τῇ γραφῇ τοῦ Θεοῦ.

# E IOSEPHI ARCHAELOGIA
## II, ιϛ.
## DE MOSIS EXPEDITIONE ADVERSVS AEGYPTIOS.

Μωϋσῆς, παρελθὼν εἰς ἡλικίαν, φανερὰν τοῖς Αἰγυπτίοις τὴν ἀρετὴν ἐποίησε, καὶ τὸ ἐπὶ ταπεινώσει μὲν τῇ ἐκείνων, ἐπ᾽ αὐξήσει δὲ τῶν Ἑβραίων γεγονέναι, τοιαύτης ἀφορμῆς λαβόμενος. Αἰθίοπες, (πρόσοικοι δ᾽ εἰσὶ τοῖς Αἰγυπτίοις) ἐμβαλόντες εἰς τὴν χώραν αὐτῶν, ἔφερον καὶ ἦγον τὰ τῶν Αἰγυπτίων· οἱ δ᾽ ὑπ᾽ ὀργῆς στρατεύουσιν ἐπ᾽ αὐτοὺς, ἀμυνό-

μενοι τῆς καταφρονήσεως· καὶ τῇ μάχῃ κρα-
τηθέντες, οἱ μὲν αὐτῶν ἔπεσον, οἱ δ' αἰσχρῶς
εἰς τὴν οἰκείαν διεσώθησαν φεύγοντες. Ἐπη-
κολούθησαν δὲ διώκοντες Αἰθίοπες, καὶ μα-
λακίας ὑπολαβόντες τὸ μὴ κρατεῖν πάσης τῆς
Αἰγύπτου, τῆς χώρας ἐπιπλεῖον ἥπτοντο· καὶ
γευσάμενοι τῶν ἀγαθῶν, οὐκέτ' αὐτῶν ἀπεί-
χοντο. Ὡς δὲ τὰ γειτνιῶντα μέρη πρῶτον
αὐτῆς ἐπερχομένων οὐκ ἐτόλμων ἀντιστρατεύειν,
προῦβησαν ἄχρι Μέμφεως καὶ τῆς θαλάσ-
σης, οὐδεμιᾶς τῶν πόλεων ἀντισχεῖν δυνηθεί-
σης. Τῷ δὲ κακῷ πιεζόμενοι, πρὸς χρησμοὺς
Αἰγύπτιοι καὶ μαντείας τρέπονται· συμβου-
λεύσαντος δ' αὐτοῖς τοῦ θεοῦ, συμμάχῳ χρή-
σασθαι τῷ Ἑβραίῳ, κελεύει ὁ βασιλεὺς τὴν
θυγατέρα, παρασχεῖν τὸν Μωυσῆν, στρατηγὸν
αὐτῷ γενησόμενον· ἡ δὲ ὅρκους ποιησαμένῳ, ὥστε
μηδὲν διαθεῖναι κακον, παραδίδωσιν, ἀντὶ με-
γάλης μὲν εὐεργεσίας κρίνουσα τὴν συμμα-
χίαν, κακίζουσα δὲ τοὺς ἱερέας, οἳ κτεῖναι προ-
αγορεύσαντες αὐτὸν ὡς πολέμιον, οὐκ ᾐδοῦντο
νῦν χρήζοντες αὐτοῦ τῆς ἐπικουρίας.

2. Μωυσῆς δὲ, ὑπό τε τῆς Θερμέθιδος
παρακληθεὶς καὶ ὑπὸ τοῦ βασιλέως, ἡδέως
προσδέχεται τὸ ἔργον. Ἔχαιρον δ' οἱ ἱερο-
γραμματεῖς ἀμφοτέρων τῶν ἐθνῶν· Αἰγυ-
πτίων μὲν, ὡς τούς τε πολεμίους τῇ ἐκείνου κρα-
τήσοντες ἀρετῇ, καὶ τὸν Μωυσῆν τῷ αὐτῷ δό-
λῳ κατεργασόμενοι· οἱ δὲ τῶν Ἑβραίων, ὡς
φυγεῖν αὐτοῖς ἐσομένου τοὺς Αἰγυπτίους, διὰ τὸ
Μωυσῆν

Μωυσῆν αὐτῶν στρατηγεῖν. Ὁ δὲ Φθάσας, πρὶν ἢ πυθέσθαι τοὺς πολεμίους τὴν ἔφοδον αὐτοῦ, τὸν στρατὸν ἀναλαβὼν ἦγεν, οὐ διὰ τοῦ ποταμοῦ ποιησάμενος τὴν ἐλασίαν, ἀλλὰ διὰ γῆς. Ἔνθα τῆς αὐτοῦ συνέσεως θαυμαστὴν ἐπίδειξιν ἐποιήσατο· τῆς γὰρ γῆς χαλεπῆς οὔσης ὁδευθῆναι διὰ πλῆθος ἑρπετῶν, (παμφορωτάτη γάρ ἐστι τούτων, ὡς καὶ τὰ παρ' ἄλλοις οὐκ ὄντα μόνη τρέφειν, δυνάμει τε καὶ κακίᾳ καὶ τῷ τῆς ὄψεως ἀσυνήθει διαφέροντα· τινὰ δ' αὐτῶν ἐστι καὶ πετεινά, ὡς λαθόντα μὲν ἀπὸ γῆς κακουργεῖν, καὶ μὴ προειδομένους ἀδικεῖν ὑπερπετῆ γινόμενα) νοεῖ πρὸς ἀσφάλειαν καὶ ἀβλαβῆ πορείαν τοῦ στρατεύματος στρατήγημα θαυμαστόν. Πλέγματα γὰρ ἐμφερῆ κιβωτοῖς ἐκ βίβλου κατασκευάσας, καὶ πληρώσας ἴβεων, ἐκόμιζε· πολεμιώτατόν δ' ἐστι τοῖς ὄφεσι τοῦτο τὸ ζῶον· φεύγουσί τε γὰρ ἐπερχομένας, καὶ ἀφιστάμενοι καθάπερ ὑπ' ἐλάφων ἁρπαζόμενοι καταπίνονται· χειροήθεις δ' εἰσὶν αἱ ἴβεις, καὶ πρὸς μόνον τὸ τῶν ὄφεων γένος ἄγριοι. Καὶ περὶ μὲν τούτων παρίημι νῦν γράφειν, οὐκ ἀγνοούντων τῶν Ἑλλήνων τῆς ἴβεως τὸ εἶδος. Ὡς οὖν εἰς τὴν γῆν ἐνέβαλε τὴν θηροτρόφον, ταύταις ἀπεμάχετο τὴν τῶν ἑρπετῶν φύσιν, ἐπαφεὶς αὐτοῖς, καὶ προπολεμούσαις χρώμενος. Τοῦτον οὖν ὁδεύσας τὸν τρόπον, οὐδὲ προμαθοῦσι παρῆν τοῖς Αἰθίοψι· καὶ συμβαλὼν αὐτοῖς, κρατεῖ τῇ μάχῃ, καὶ τῶν ἐλπίδων, ἃς εἶχον ἐπὶ τοὺς

Αἰγυπτίους, ἀφαιρεῖται, τάς τε πόλεις αὐτῶν ἐπήει καταστρεφόμενος, καὶ φόνος πολὺς τῶν Αἰθίοπων ἐπράττετο.

3. Καὶ τῆς διὰ Μωυσῆν εὐπραγίας γευσάμενον τὸ τῶν Αἰγυπτίων στράτευμα πονεῖν οὐκ ἔκαμνεν, ὡς περὶ ἀνδραποδισμοῦ καὶ παντελοῦς ἀναστάσεως τὸν κίνδυνον εἶναι τοῖς Αἰθίοψι· καὶ τέλος συνελασθέντες εἰς Σαβὰ, πόλιν βασίλειον οὖσαν τῆς Αἰθιοπίας, ἣν ὕστερον Καμβύσης Μερόην μετωνόμασεν, ἀδελφῆς ἰδίας τοῦτο καλουμένης, ἐπολιορκοῦντο. Ἦν δὲ δυσπολιόρκητον σφόδρα τὸ χωρίον, τοῦ τε Νείλου περιέχοντος αὐτὴν καὶ κυκλουμένου, ποταμῶν τε ἄλλων Ἀστάπου καὶ Ἀσταβόρα δυσμάχητον τοῖς πειρωμένοις διαβαίνειν τὸ ῥεῦμα ποιούντων· ἡ γὰρ πόλις ἐκτὸς οὖσα νῆσος οἰκεῖται, τείχους τε αὐτῇ καρτεροῦ περιηγμένου, καὶ πρὸς μὲν τοὺς πολεμίους πρόβλημα τοὺς ποταμοὺς ἔχουσα, χώματά τε μεγάλα μεταξὺ τοῦ τείχους, ὥστε ἀνεπίκλυστον εἶναι βιαιότερον ὑπὸ πλημμύρας φερομένων· ἅπερ καὶ τοῖς περαιωσαμένοις τοὺς ποταμοὺς ἄπορον ἐποίει τῆς πόλεως τὴν ἅλωσιν. Φέροντι τοίνυν ἀηδῶς τῷ Μωυσῇ τὴν τοῦ στρατεύματος ἀργίαν, (εἰς χεῖρας γὰρ οὐκ ἐτόλμων ἀπαντᾷν οἱ πολέμιοι) συνέτυχέ τι τοιοῦτον. Θάρβις θυγάτηρ ἦν τοῦ Αἰθίοπων βασιλέως· αὕτη τὸν Μωυσῆν, πλησίον τοῖς τείχεσι προσάγοντα τὴν στρατείαν, καὶ μαχόμενον γενναίως ἀποσκοποῦσα, καὶ τῆς ἐπινοίας τῶν ἐγχειρήσεων θαυμάζουσα,

σα, καὶ τοῖς τε Αἰγυπτίοις αἴτιον, ἀπεγνωκόσιν ἤδη τὴν ἐλευθερίαν, τῆς εὐπραγίας ὑπολαμβάνȣσα, καὶ τοῖς Αἰθίοψιν, αὐχȣ̃σιν ἐπὶ τοῖς κατ᾽ αὐτῶν κατωρθωμένοις, τȣ̃ περὶ τῶν ὅλων κινδύνȣ, εἰς ἔρωτα δεινὸν ὤλισθεν αὐτȣ̃· καὶ προϊόντος τȣ̃ πάθȣς πέμπει πρὸς αὐτὸν τῶν οἰκετῶν τοὺς πιστοτάτους, διαλεγομένη περὶ γάμου. Προσδεξαμένου δὲ τὸν λόγον ἐπὶ τῷ παραδοῦναι τὴν πόλιν, καὶ ποιησαμένου πίστεις ἐνόρκους ἦ μὴν ἄξεσθαι γυναῖκα, καὶ κρατήσαντα τῆς πόλεως μὴ παραβήσεσθαι τὰς συνθήκας· Φθάνει τὸ ἔργον τοὺς λόγους. Καὶ κατὰ τὴν ἀναίρεσιν τῶν Αἰθιόπων εὐχαριστήσας τῷ θεῷ, συνετέλει τὸν γάμον ὁ Μωυσῆς, καὶ τοὺς Αἰγυπτίους ἀπήγαγεν εἰς τὴν ἑαυτῶν γῆν.

# LIB. II. CAP. XI.

## DE FVGA MOSIS AD MIDIANITAS.

1. Οἱ δ', ἐξ ὧν ἐσώζοντο ὑπὸ Μωυσέως, μῖσος ἐκ τούτων πρὸς αὐτὸν ἀνελάμβανον, καὶ θερμότερον ἅπτεσθαι τῶν κατ' αὐτοῦ βουλευμάτων ἠξίουν· ὑπονοοῦντες μὲν, μὴ διὰ τὴν εὐπραγίαν νεωτερίσειε κατὰ τὴν Αἴγυπτον, διδάσκοντες δὲ τὸν βασιλέα περὶ τῆς σφαγῆς. Ὁ δὲ καὶ καθ' αὑτὸν μὲν εἶχε τὴν τοῦ πράγματος ἐπίνοιαν, ὑπό τε φθόνου τῆς Μωυσέως στρατηγίας, καὶ ὑπὸ δέους ταπεινώσεως· ἐπειχθεὶς δ' ὑπὸ τῶν ἱερογραμματέων, οἷός τε ἦν ἐγχειρεῖν τῇ Μωυσέως ἀναιρέσει. Φθάσας δὲ τὴν ἐπιβουλὴν καταμαθεῖν, λαθὼν ὑπέξεισι, καὶ τῶν ὁδῶν φυλαττομένων ποιεῖται διὰ τῆς ἐρήμου τὸν δρασμὸν, καὶ ὅθεν ἦν ὑπόνοιαν μὴ λαβεῖν τοὺς ἐχθρούς· ἄπορός τε ὢν τροφῆς, ἀπηλλάττετο τῇ καρτερίᾳ καταφρονῶν. Εἴς τε πόλιν Μαδιηνὴν ἀφικόμενος, πρὸς τῇ μὲν ἐρυθρᾷ θαλάσσῃ κειμένην, ἐπώνυμον δὲ ἑνὸς τῶν Ἀβράμῳ γενομένων ἐκ Χετέρας υἱῶν, καθεσθεὶς ἐπί τινος φρέατος, ἐκ τοῦ κόπου καὶ τῆς ταλαιπωρίας ἠρέμει, μεσημβρίας οὔσης, οὐ πόῤῥω τῆς πόλεως. Ἔνθ' αὐτῷ συνέβη καὶ πρᾶξις, ἐκ διαίτης τῶν αὐτόθι συστήσασα τὴν ἀρετὴν αὐτοῦ, καὶ πρὸς τὸ κρεῖττον ἀφορμὴν παρασχοῦσα.

2. Τῶν γὰρ χωρίων δυσύδρων ὄντων, προκατελάμβανον οἱ ποιμένες τὰ φρέατα, ὅπως μὴ, προεξαναλωμένου τοῦ ὕδατος ὑπὸ τῶν ἄλλων, σπανίζοι ποτοῦ τὰ θρέμματα. Παραγίνονται οὖν ἐπὶ τὸ φρέαρ ἑπτὰ παρθένοι ἀδελφαὶ, Ῥαγουήλου θυγατέρες, ἱερέως, καὶ πολλῆς ἠξιωμένου τιμῆς παρὰ τοῖς ἐπιχωρίοις, αἳ, τῶν τοῦ πατρὸς ποιμνίων ἐπιμελούμεναι, διὰ τὸ ταύτην ὑπουργίαν εἶναι καὶ γυναιξὶν ἐπιχώριον παρὰ τοῖς Τρωγλοδύταις, φθάσασαι τὸ αὔταρκες, ἐκ τοῦ φρέατος ἀνέσπασαν ὕδωρ τοῖς ποιμνίοις εἰς δεξαμενὰς, αἳ πρὸς ἐκδοχὴν τοῦ ὕδατος ἐγεγόνεισαν. Ἐπιστάντων δὲ ποιμένων καὶ ἀπελαυνόντων τὰς παρθένους, ὡς αὐτοὶ τοῦ ὕδατος κρατεῖεν, Μωυσῆς, δεινὸν ἡγησάμενος εἶναι, περιϊδεῖν ἀδικουμένας τὰς κόρας, καὶ τὴν βίαν τὴν τῶν ἀνδρῶν ἐᾶσαι κρείττονα γενέσθαι τοῦ τῶν παρθένων δικαίου, τοὺς μὲν εἶρξεν πλεονεκτεῖν ἐθέλοντας, ταῖς δὲ παρέσχε τὴν δέουσαν βοήθειαν. Αἱ δὲ εὐεργετηθεῖσαι παρῆσαν πρὸς τὸν πατέρα, τήν τε ὕβριν τῶν ποιμένων αὐτῷ διηγούμεναι, καὶ τὴν ἐπικουρίαν τοῦ ξένου, παρεκάλουν τε, μὴ ματαίαν αὐτῷ γενέσθαι τὴν εὐποιΐαν, μὴ δ' ἀμοιβῆς ὑστεροῦσαν. Ὁ δὲ τάς τε παῖδας ἀπεδέξατο τῆς περὶ τὸν εὐεργετηκότα σπουδῆς, καὶ τὸν Μωυσῆν εἰς ὄψιν ἐκέλευεν ἄγειν αὐτῷ, τευξόμενον χάριτος δικαίας. Ὡς δ' ἧκεν, τὴν περὶ τῶν θυγατέρων ἀπεσήμανεν αὐτῷ μαρ-

τυρίαν

τυρίαν ἐπὶ τῇ βοηθείᾳ· καὶ τῆς ἀρετῆς αὐτὸν θαυμάζων, ἐκ εἰς αναισθήτες εὐεργεσιῶν καταθέσθαι τὴν ἐπικερίαν ἔλεγεν, ἀλλ' ἱκανὲς ἐκτίσαι χάριν, καὶ τῷ μεγέθει τῆς ἀμοιβῆς ὑπερβάλλειν τὸ μέτρον τῆς εὐποιΐας. Ποιεῖται δ' αὐτὸν υἱὸν, καὶ μίαν τῶν θυγατέρων πρὸς γάμον δίδωσιν, τῶν τε θρεμμάτων (ἐν τέτοις γὰρ ἡ πᾶσα κτῆσις τὸ παλαιὸν ἦν τοῖς βαρβάροις) ἀποδείκνυσιν ἐπιμελητὴν καὶ δεσπότην.

# LIB. II. CAP. XII.

## DE MOSIS VOCATIONE.

1. Καὶ Μωυσῆς μὲν τοιούτων τυχὼν παρὰ τοῦ Ἰεθεγλαίου, (τοῦτο γὰρ ἦν ἐπίκλημα τῷ Ῥαγουήλῳ) διῆγεν αὐτόθι ποιμαίνων τὰ βοσκήματα. Χρόνῳ δ' ὕστερον νέμων, ἐπὶ τὸ Σιναῖον καλούμενον ὄρος ἄγει τὰ ποίμνια· τοῦτο δ' ἔστιν ὑψηλότατον τῶν ταύτῃ ὀρῶν, καὶ πρὸς νομὰς ἄριστον, ἀγαθῆς φυομένης πόας, καὶ, διὰ τὸ δόξαν ἔχειν, ἐνδιατρίβειν αὐτῷ τὸν θεὸν, οὐ κατανεμηθείσης πρότερον, οὐ τολμώντων ἐμβατεύειν εἰς αὐτὸ τῶν ποιμένων. Ἔνθα δὴ καὶ τέρας αὐτῷ τυγχάνει θαυμάσιον. Πῦρ γὰρ, θάμνον βάτων νεμόμενον, τὴν περὶ αὐτὸν χλόην τό τε ἄνθος αὐτοῦ παρῆλθεν ἀβλαβὲς, καὶ τῶν ἐγκάρπων κλάδων οὐδὲν ἠφάνισε, καὶ ταῦτα τῆς φλογὸς πολλῆς καὶ ὀξυτάτης ὑπαρχούσης. Ὁ δὲ καὶ αὐτὴν μὲν ἔδεισε τὴν ὄψιν παράδοξον γενομένην, κατεπλάγη δ' ἔτι μᾶλλον, φωνὴν τοῦ πυρὸς ἀφίεντος, καὶ ὀνομαστὶ καλέσαντος αὐτὸν, καὶ ποιησαμένου λόγους, οἷς τό τε θάρσος αὐτοῦ, τολμήσαντος παρελθεῖν εἰς χωρίον, εἰς ὃ μηδεὶς ἀνθρώπων πρότερον ἀφῖκτο, διὰ τὸ εἶναι θεῖον, ἐσήμαινε, καὶ συνεβούλευεν, τῆς φλογὸς ὡς ποῤῥωτάτω χωρεῖν· καὶ ἀρκεῖσθαι μὲν, οἷς ἑώρακεν, ἀγαθὸν ὄντα καὶ μεγάλων ἀνδρῶν

ἔκγονον· πολυπραγμονεῖν δὲ μηδὲν τούτοις περισσότερον. Προηγόρευέ τε τὴν ἐσομένην αὐτῷ δόξαν καὶ τιμὴν παρὰ ἀνθρώποις, τοῦ θεοῦ συμπαρόντος, καὶ θαῤῥοῦντα ἐκέλευεν εἰς τὴν Αἴγυπτον ἀπιέναι, στρατηγὸν καὶ ἡγεμόνα τῆς Ἑβραίων πληθύος ἐσόμενον, καὶ τῆς ὕβρεως τῆς ἐκεῖ τοὺς συγγενεῖς ἀπαλλάξοντα. Καὶ γὰρ γῆν οἰκήσουσι, φησὶ, ταύτην εὐδαίμονα, ἣν Ἄβραμος ᾤκησεν ὁ ὑμέτερος πρόγονος· καὶ τῶν πάντων ἀπολαύσουσιν ἀγαθῶν, εἰς ταῦτα σου καὶ τῆς σῆς συνέσεως αὐτοὺς ἡγουμένης. Ἐξαγαγόντα μέντοι τοὺς Ἑβραίους ἐκ τῆς Αἰγύπτου, θυσίας ἐκέλευε χαριστηρίους ἀφικόμενον εἰς ἐκεῖνον ἐκτελέσαι τὸν τόπον. Τοσαῦτα μὲν ἐκ τοῦ πυρὸς θεσκλυτεῖται.

2. Μωυσῆς δ' ἐκπεπληγμένος, οἷς τε εἶδε, καὶ πολὺ μᾶλλον οἷς ἤκουσεν, δυνάμει μὲν ἀπιστεῖν, ἔφη, τῇ σῇ, ὦ δέσποτα, ἣν αὐτός τε θρησκεύω, καὶ προγόνοις οἶδα φανερὰν γενομένην, μανιωδέστερον ἢ κατὰ τὴν ἐμαυτοῦ φρόνησιν ἡγοῦμαι· πλὴν ἀπορῶ, πῶς ἂν, ἰδιώτης ἀνὴρ καὶ μηδεμιᾶς ἰσχύος εὐπορῶν, ἢ πείσω λόγοις τοὺς οἰκείους, ἀφέντας ἣν ἄρτι κατοικοῦσι γῆν, ἕπεσθαί μοι, πρὸς ἣν αὐτοὺς ἡγοῦμαι· ἢ, κἂν ἐκεῖνοι πεισθῶσι, πῶς ἂν βιασαίμην Φαραώθην, ἐπιτρέψαι τὴν ἔξοδον τούτοις, ὧν τοῖς πόνοις καὶ τοῖς ἔργοις τὴν οἰκείαν αὔξουσιν εὐδαιμονίαν.

3. Ὁ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0068-6

3. Ὁ δὲ θεὸς αὐτῷ περὶ πάντων συνεβούλευε θαῤῥεῖν, ἐπισχνούμενος αὐτὸς παρέσεσθαι, καὶ οὗ ἂν δέῃ μὲν λόγων, πειθὼ παρέξειν, οὗ δ' ἂν ἔργων, ἰσχὺν χορηγήσειν. Ἐκέλευέ τε τὴν βακτηρίαν ἐπὶ τὴν γῆν ἀφέντα πίστιν, ὧν ἐπισχνεῖται, λαμβάνειν. Καὶ ποιήσαντος, δράκων εἷρπε, καὶ συνειλούμενος σπειρηδὸν, ὡς διώκουσιν ἐπ' ἀμύνῃ, τὴν κεφαλὴν ἐπανέτεινεν· εἶτα πάλιν βάκτρον ἦν. Μετὰ τοῦτο δὲ καθεῖναι τὴν δεξιὰν εἰς τὸν κόλπον προσέταξεν· ὑπακούσας δὲ, λευκὴν καὶ τιτάνῳ τὴν χρόαν ὁμοίαν προεκόμισεν· εἶτ' εἰς τὸ σύνηθες κατέστη. Κελευσθεὶς δὲ καὶ τοῦ πλησίον ὕδατος λαβὼν ἐπὶ τὴν γῆν ἐκχέαι, ὁρᾷ τὴν χρόαν αἱματώδη γενομένην. Θαυμάζοντα δ' ἐπὶ τούτοις θαῤῥεῖν παρεκελεύετο, καὶ βοηθὸν εἰδέναι μέγιστον αὐτῷ συνεσόμενον, καὶ σημείοις πρὸς τὸ πιστεύεσθαι παρὰ πᾶσι χρῆσθαι, ὅτι πεμφθεὶς ὑπ' αὐτοῦ πάντα κατὰ τὰς ἐμὰς ἐντολὰς ποιεῖς. Κελεύω δὲ μηδὲν ἔτι μελλήσαντά σε σπεύδειν εἰς τὴν Αἴγυπτον, καὶ νυκτὸς καὶ ἡμέρας ἐπειγόμενον, καὶ μὴ τρίβοντα τὸν χρόνον, πλείω ποιεῖν τοῦτον Ἑβραίοις, ἐν δουλείᾳ κακοπαθοῦσι.

4. Μωυσῆς δ', οὐκ ἔχων ἀπιστεῖν, οἷς ἐπηγγέλλετο τὸ θεῖον, θεατής γε τοιούτων βεβαιωμάτων καὶ ἀκροατὴς γενόμενος, εὐξάμενος αὐτῷ, καὶ πειραθῆναι ταύτης τῆς δυνάμεως ἐν Αἰγύπτῳ δεηθεὶς, ἠντιβόλει μηδὲ

ὀνόματος αὐτῷ γνῶσιν τοῦ ἰδίου φθονῆσαι. Φωνῆς δ' αὐτῷ μετεσχηκότι καὶ ὄψεως ἔτι καὶ τὴν προσηγορίαν εἰπεῖν· ἵνα θύων ἐξ ὀνόματος αὐτὸν, παρεῖναι τοῖς ἱερείοις, παρακαλεῖ. Καὶ ὁ θεὸς αὐτῷ σημαίνει τὴν ἑαυτοῦ προσηγορίαν, οὐ πρότερον εἰς ἀνθρώπους παρελθοῦσαν· περὶ ἧς οὐ μὴ θέμις εἰπεῖν. Μωυσῆς μὲν τοῖς σημείοις τούτοις οὐ τότε μόνον, διαπαντὸς δ' ὁπότε δεηθείη, συνετύγχανεν. Ἐξ ὧν ἁπάντων πλέον περὶ τῆς ἀληθειας τῷ πυρὶ νέμων, καὶ τὸν θεὸν εὐμενῆ παραστάτην ἕξειν πιστεύων, τοὺς τε οἰκείους σώζειν ἤλπιζε, καὶ τοὺς Αἰγυπτίους κακοῖς περιβαλεῖν.

# LIB. II. CAP. XIIII.

## CALAMITATES AEGYPTI ANTE ISRAELITARVM ABITVM.

Τοῦ βασιλέως ἐκφαυλίζοντος τοὺς Μωυσέως λόγους, καὶ μηδεμίαν ἐπιστροφὴν ἔτι ποιουμένου, πάθη δεινὰ τοὺς Αἰγυπτίους κατελάμβανεν· ὧν ἕκαστον ἐκθήσομαι, διά τε τὸ μὴ πρότερόν τισι συμβάντα τοῖς Αἰγυπτίοις εἰς πεῖραν ἐλθεῖν, καὶ διὰ τὸ βούλεσθαι Μωυσῆν μηδὲν, ὧν προεῖπεν αὐτοῖς, ψευσάμενον ἐπιδεῖξαι, καὶ ὅτι συμφέρει τοῖς ἀνθρώποις, μαθοῦσι φυλάττεσθαι αὐτὰ ποιεῖν, ἐφ' οἷς μὴ δυσαρεστήσῃ τὸ θεῖον, μήδ' εἰς ὀργὴν περιτραπὲν ἀμυνῆται τῆς ἀδικίας αὐτούς. Ὁ γὰρ ποταμὸς αὐτοῖς αἱματώδης, θεοῦ κελεύσαντος, ἐῤῥύη, πίνεσθαί τε μὴ δυνάμενος, καὶ πηγὴν ἑτέραν ὑδάτων οὐκ ἔχουσιν. Οὐχὶ τὴν χρόαν δὲ μόνον ἦν τοιοῦτος, ἀλλὰ καὶ τοῖς πειρωμένοις πίνειν ἀλγήματα καὶ πικρὰν ὀδύνην προσέφερεν. Ἦν δὲ τοιοῦτος μὲν Αἰγυπτίοις. Ἑβραίοις δὲ γλυκὺς καὶ πότιμος, καὶ μηδὲν τοῦ κατὰ φύσιν παρηλλαγμένος. Πρὸς οὖν τὸ παράδοξον ἀμηχανήσας ὁ βασιλεὺς, καὶ δείσας περὶ τῶν Αἰγυπτίων, συνεχώρει τοῖς Ἑβραίοις ἀπιέναι· καὶ τοῦ κακοῦ λωφήσαντος, πάλιν τὴν γνώμην μετέβαλεν, οὐκ ἐπιτρέπων τὴν ἄφοδον αὐτοῖς.

2. Ὁ δὲ θεὸς, ἀγνωμονοῦντος καὶ μετὰ τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς οὐκ ἔτι σωφρονεῖν ἐθέλοντος, ἄλλην τοῖς Αἰγυπτίοις ἐπιφέρει πληγήν. Βατράχων πλῆθος ἄπειρον τὴν γῆν αὐτῶν ἐπεβόσκετο, μεςὸς δὲ τούτων καὶ ὁ πόταμος ἦν, ὡς διαμωμένους τὸ ποτὸν τῷ τῶν ζώων ἰχῶρι κεκακωμένον λαμβάνειν, ἐναποθνησκόντων καὶ συνδιαφθειρομένων τῷ ὕδατι· ἥτε χώρα αὐτῶν μεςὴ κακῆς ἦν ἰλύος, γεννωμένων τε καὶ ἀποθνησκόντων· τάς τε κατ᾽ οἶκον αὐτῶν διαίτας ἠφάνιζον, ἐν βρωτοῖς εὑρισκόμενοι καὶ ποτοῖς, καὶ ταῖς εὐναῖς αὐτῶν ἐπιπολάζοντες· ὀδμή τε χαλεπὴ ἦν καὶ δυσώδης ἀποθνησκόντων τῶν βατράχων, καὶ ἐν αὐτῇ διεφθαρμένων. Ὑπὸ δὲ τούτων τῶν κακῶν ἐλαυνομένων τῶν Αἰγυπτίων, τὸν Μωυσῆν ἐκέλευσεν ὁ βασιλεὺς οἴχεσθαι τοὺς Ἑβραίους λαβόντα. Παραχρῆμα, τοῦτ᾽ εἰπόντος, ἠφάνιςο τῶν βατράχων τὸ πλῆθος, καὶ ἥ τε γῆ καὶ ὁ ποταμὸς εἰς τὴν ἰδίαν φύσιν κατέςησαν. Φαραώθης δὲ, ἅμα τοῦ τε πάθους ἀπήλλακτο ἡ γῆ, καὶ τῆς αἰτίας ἐπελέληςο, καὶ τοὺς Ἑβραίους κατεῖχε, καὶ, ὥσπερ πλειόνων παθημάτων φύσεις βουλόμενος μαθεῖν, οὐκέτ᾽ ἠφίει τοῖς περὶ τὸν Μωυσῆν ἐξιέναι, φόβῳ μᾶλλον, ἢ φρονήσει ταύτην αὐτοῖς ἐπιτρέπων.

3. Πάλιν οὖν ἄλλου κακοῦ προσβολῇ μετῄει τὸ θεῖον αὐτοῦ τὴν ἀπάτην. Φθειρῶν γὰρ τοῖς Αἰγυπτίοις ἐξήνθησεν ἄπειρόν τι πλῆθος, ἔνδοθεν

δοθεν ἀναδιδομένων, ὑφ' ὧν κακοὶ κακῶς ἀπώλλυντο, μήτε ἰατροῖς, μήτε χρίσεσι φαρμάκων διαφθεῖραι τὸ γένος αὐτῶν δυνάμενοι. Καὶ πρὸς τοῦτο τὸ δεινὸν ὁ τῶν Αἰγυπτίων βασιλεὺς ταραχθεὶς, καὶ δείσας ὁμοῦ τὸν ὄλεθρον τοῦ λαοῦ, καὶ τὴν αἰσχύνην δὲ τῆς ἀπωλείας λογισάμενος, ἐξ ἡμίσους ὑπὸ φαυλότητος ἠναγκάζετο σωφρονεῖν· τοῖς μὲν γὰρ Ἑβραίοις αὐτοῖς ἐδίδου τὴν ἄφοδον· καὶ πρὸς τοῦτο λωφήσαντος, τέκνα καὶ γυναῖκας ὅμηρα τῆς ὑποστροφῆς αὐτῶν καταλιπεῖν αὐτοὺς ἠξίου. Προσεξαγριαίνει δὴ τὸν θεὸν, νομίσας, ἀπατήσειν αὐτοῦ τὴν πρόνοιαν, ὥσπερ Μωυσέως, ἀλλ' οὐκ ἐκείνου τιμωροῦντος τὴν Αἴγυπτον ὑπὲρ τῶν Ἑβραίων.

4. 5. Θηρίων γὰρ παντοίων καὶ πολυτρόπων, ὧν εἰς ὄψιν οὐδεὶς ἀπηντήκει πρότερον, τὴν χώραν αὐτῶν ἐγέμισεν, ὑφ' ὧν αὐτοί τε ἀπώλλυντο, καὶ ἡ γῆ τῆς ἐπιμελείας τῆς παρὰ τῶν γεωργῶν ἀπεστέρητο· εἰ δέ τι καὶ διέφυγε τὴν ὑπ' ἐκείνοις ἀπώλειαν, νόσῳ τοῦτο καὶ τῶν ἀνθρώπων ὑπομενόντων ἐδαπανᾶτο.

6. Τοῦ δὲ Φαραώθου μήδ' οὕτως εἴκοντος τοῖς τοῦ θεοῦ βουλήμασιν, ἀλλὰ τὰς μὲν γυναῖκας συναπαίρειν τοῖς ἀνδράσιν ἀξιοῦντος, καταλιπέσθαι δὲ τοὺς παῖδας· οὐκ ἠπόρει τὸ θεῖον, τὴν πονηρίαν αὐτοῦ ποικίλοις κακοῖς καὶ μείζοσιν τῶν προενδεδημηκότων μετερχόμενον βασανίσαι· ἀλλὰ γὰρ δεινῶς αὐτοῖς ἐξηλκοῦντο

τὰ σώματα, τῶν ἐντὸς διαφθειρομένων· καὶ τὸ πολὺ τῶν Αἰγυπτίων ὅτως ἀπώλλυτο.

7. Μηδ' ὑπὸ ταύτης δὲ τῆς πληγῆς σωφρονιζομένȣ τȣ͂ βασιλέως, χάλαζα μήτε πρότερον τȣ͂ κατ' Αἴγυπτον αέρος τȣ͂το πεπονθότος, μήτε ὁμοία τῇ παρ' ἄλλοις ὥρᾳ χειμῶνος κατιȣ́σῃ, μείζων δὲ τῆς παρὰ τοῖς τὰ βόρεια καὶ τὴν ἄρκτον νεμομένοις ἔαρος ἀκμάζοντος κατενεχθεῖσα, τȣ̀ς καρπȣ̀ς αὐτῶν κατέκλασεν.

8. Ἔπειτα φῦλον ἀκρίδων ἐπινέμεται τὴν ὑπὸ τῆς χαλάζης μὴ καταβλαβεῖσαν ϛποράν ὥϛε πρὸς ἀκριβὲς πάσας τοῖς Αἰγυπτίοις τὰς απὸ τῆς γῆς τῶν καρπῶν ἐλπίδας διαλέσαι.

9. Ἤρκει μὲν ȣ͂ν τὸν δίχα πονηρίας ἀνόητον καὶ τὰ προειρημένα τῶν κακῶν εις σύνεσιν καὶ τȣ͂ συμφέροντος τὴν ἐπίνοιαν ὠφελῆσαι· Φαραώθης δὲ, ȣ̓ τοσȣ͂τον ὑπὸ ἀφροσύνης, ὅσον ὑπὸ κακίας, αἰσθόμενος τῆς αἰτίας, ὅμως ἀντεφιλονείκει τῷ θεῷ, καὶ τȣ͂ κρείττονος ἑκὼν προδότης εγένετο. Καὶ κελεύει μὲν τὸν Μωυσῆν μετά τε γυναικῶν καὶ παίδων ἀπάγειν τȣ̀ς Ἑβραίȣς· τὴν δὲ λείαν αὐτοῖς καταλιπεῖν, ἐφθαρμένης αὐτοῖς τῆς οἰκείας. Τȣ͂ δὲ Μωυσέως ȣ̓χὶ δίκαια φήσαντος αὐτὸν ἀξιȣ͂ν, δεῖν γὰρ αὐτȣ̀ς τῷ θεῷ τὰς θυσίας ἐκ τῆς λείας ἐπενεγκεῖν, καὶ τριβομένȣ διὰ ταύτην τὴν αἰτίαν τȣ͂ χρόνȣ, σκότος βαθὺ καὶ φέγγȣς ἄμοιρον περιχεῖται τοῖς Αἰγυπτίοις, ὑφ'

ȣ τάς τε ὄψεις ἀποκλειομένοις, καὶ τὰς ἀναπνοὰς ἐμφραττομένοις ὑπὸ παχύτητος οἰκτρῶς τε ἀποθνήσκειν συνέβαινε, καὶ δεδιέναι, μὴ καταποθῶσιν ὑπὸ τȣ̃ νέφȣς. Εἶτα τȣ́τȣ διασκεδασθέντος μετὰ τρεῖς ἡμέρας καὶ τοσαύτας νύκτας, ὡς ȣ̓ μετενόει πρὸς τὴν ἔξοδον τῶν Ἑβραίων ὁ Φαραώθης, προσελθὼν ὁ Μωυσῆς φησίν· Ἄχρι πότε ἀπειθεῖς τῇ τȣ̃ θεȣ̃ γνώμῃ; κελεύει γὰρ ȣ̃τος ἀπολύειν τȣ̀ς Ἑβραίȣς, καὶ ȣ̓κ ἔστιν ἑτέρως ἀπαλλαγῆναι τῶν κακῶν ὑμᾶς μὴ ταῦτα ποιήσαντας. Ὁ δὲ βασιλεὺς ὀργισθεὶς ἐπὶ τοῖς εἰρημένοις, ἠπείλησεν αὐτȣ̃ τὴν κεφαλὴν ἀποτεμεῖν, εἰ πάλιν περὶ τȣ́των ἐνοχλῶν αὐτῷ προσέλθοι. Μωυσῆς δὲ ȣ̓κέτι αὐτὸς ποιήσεσθαι περὶ τȣ́των λόγȣς ἔφησεν· αὐτὸν δὲ ἐκεῖνον σὺν καὶ τοῖς πρώτοις τῶν Αἰγυπτίων παρακαλέσειν τȣ̀ς Ἑβραίȣς ἀπελθεῖν. Καὶ ὁ μὲν ταῦτ᾽ εἰπὼν ἀπαλλάσσεται.

10. Ὁ δὲ θεὸς, δηλώσας, ἔτι μιᾷ πληγῇ τȣ̀ς Αἰγυπτίȣς καταναγκάσειν ἀπολῦσαι τȣ̀ς Ἑβραίȣς, ἐκέλευσε Μωυσῆν παραγγεῖλαι τῷ λαῷ, θυσίαν ἑτοίμην ἔχειν, παρασκευασαμένȣς τῇ δεκάτῃ τȣ̃ Ξανθικȣ̃ μηνὸς εἰς τὴν τεσσαρεσκαιδεκάτην, (ὃς παρὰ μὲν Αἰγυπτίοις Φαρμȣθὶ καλεῖται, Νίσαν δὲ παρ᾽ Ἑβραίοις, Μακεδόνες δ᾽ αὐτὸν Ξανθικὸν προσαγορεύȣσιν) ἀπάγειν τε τȣ̀ς Ἑβραίȣς πάντα ἐπικομιζομένȣς. Καὶ ὁ μὲν ἑτοίμȣς ἔχων ἤδη τȣ̀ς Ἑβραίȣς πρὸς τὴν ἔξοδον, καὶ διατάξας εἰς

φρατριὰς, ἐν ταὐτῷ συνεῖχεν. Ἐνςάσῃ δὲ τῆς τεσσαρεσκαιδεκάτης, πάντες πρὸς ἔφοδον ἔχοντες ἔθυον, καὶ τῷ αἵματι τὰς οἰκίας ἥγνιζον, ὑσσώπε κόμας ἀναλαβόντες· καὶ δειπνήσαντες, τὰ λοιπὰ τῶν κρεῶν ἔκαυσαν, ὡς ἐξελευσόμενοι. Ὅθεν νῦν ἔτι κατὰ τὸ ἔθος ὅτως θύομεν, τὴν ἑορτὴν πάσχα καλῦντες· σημαίνει δὲ ὑπερβάσια, διότι κατ᾽ ἐκείνην τὴν ἑσπέραν ὁ θεὸς, αὐτῶν ὑπερβὰς, Αἰγυπτίοις ἐναπέσκηψε τὴν νόσον. Ἡ γὰρ φθορὰ τῶν πρωτοτόκων κατ᾽ ἐκείνην ἔπεισι τὴν νύκτα τοῖς Αἰγυπτίοις, ὡς συνελθόντας πολλὺς τῶν περὶ τὸ βασίλειον διαιτωμένων τῷ Φαραώθῃ συμβελεύειν, ἀπολύειν τὺς Ἑβραίυς. Καὶ Μωυσῆν καλέσας ἐκεῖνος, ἀπιέναι προσέταξεν, εἰ τῆς χώρας ἐξέλθοιεν, παύσασθαι τὴν Αἴγυπτον κακοπαθῦσαν ὑπολαβών· δώροις τε τὺς Ἑβραίυς ἐτίμων, οἱ μὲν ὑπὲρ τῦ τάχιον ἐξελθεῖν, οἱ δὲ καὶ κατὰ γειτνιακὴν πρὸς αὐτὺς συνήθειαν.

CAP. XVI.

# LIB. II. CAP. XVI.

## ISRAELITAE MEDIVM MARE TRANSEVNT.

1. Τοσαῦτα εἰπὼν ἦγεν αὐτοὺς ἐπὶ τὴν θάλασσαν, τῶν Αἰγυπτίων ὁρώντων· ἐν ὄψει τε γὰρ ἦσαν, καὶ τῷ πόνῳ τεταλαιπωρημένοι τῆς διώξεως, εἰς τὴν ὑστεραίαν τὴν μάχην ὑπερβάλλεσθαι καλῶς ἔχειν ὑπελάμβανον. Ἐπεὶ δὲ πρὸς τῷ αἰγιαλῷ Μωυσῆς ἐγεγόνει, λαβὼν τὴν βακτηρίαν τὸν θεὸν ἱκέτευε, καὶ σύμμαχον καὶ βοηθὸν ἐκάλει, λέγων· Οὐδ' αὐτὸς μὲν ἀγνοεῖς, ὦ δέσποτα, ὅτι φυγεῖν ἡμῖν ἐκ τῶν παρόντων οὔτε κατὰ ῥώμην οὔτε κατ' ἐπίνοιάν ἐστιν ἀνθρωπίνην· ἀλλ' ἤδη τι πάντως σωτήριον στρατῷ, τῷ κατὰ τὴν σὴν βούλησιν ἀφέντι τὴν Αἴγυπτον, σόν ἐστιν ἐκπορίζειν. Ἡμεῖς τε, ἄλλην ἀπεγνωκότες ἐλπίδα καὶ μηχανὴν, εἰς τὴν ἀπὸ σοῦ μόνου καταφεύγομεν· καὶ εἴ τι παρὰ τῆς σῆς προνοίας ἔλθοι, ἐξαρπάσαι τῆς Αἰγυπτίων ὀργῆς ἡμᾶς δυνάμενον, ἀφορῶμεν. Ἀφίκοιτο δὲ τοῦτο ταχέως, τὴν σὴν ἐμφανίζον ἡμῖν δύναμιν· καὶ τὸν λαὸν, ὑπὸ ἀνελπιστίας καταπεπτωκότα πρὸς τὸ χεῖρον, ἀνάστησον εἰς εὐθυμίαν καὶ τὸ περὶ τῆς σωτηρίας θάρσος. Ἐν οὐκ ἀλλοτρίοις δ' ἐσμὲν τοῖς ἀπόροις· ἀλλὰ σὴ μὲν ἡ θάλασσα, σὸν δὲ τὸ περικλεῖον ἡμᾶς ὄρος,

ὄρος, ὡς ἀνοιγῆναι μὲν τȣ̃το, σȣ̃ κελεύσαντος, ἠπειρωθῆναι δὲ καὶ τὸ πέλαγος, εἶναι δὲ ἡμῖν ἀποδρᾶναι καὶ δι' ἀέρος, δόξαν ἰσχύϊ τῇ σῇ, τȣ̃τον ἡμᾶς σώζεσθαι τὸν τρόπον.

2. Τοσαῦτα ἐπιθειάσας τύπτει τῇ βακτηρίᾳ τὴν θάλασσαν· ἡ δὲ ὑπὸ τῆς πληγῆς ἀνεκόπη, καὶ εἰς ἑαυτὴν ὑποχωρήσασα, γυμνὴν ἀφίησι τὴν γῆν, ὁδὸν Ἑβραίοις εἶναι καὶ φυγήν. Μωυσῆς δὲ, ὁρῶν τὴν ἐπιφάνειαν τȣ̃ θεȣ̃, καὶ τὸ πέλαγος ἐκκεχωρηκὸς αὐτοῖς τῆς ἰδίας ἠπείρȣ, πρῶτος ἐνέβαινεν αὐτῇ, καὶ τȣ̀ς Ἑβραίȣς ἐκέλευεν ἕπεσθαι, διὰ θείας ὁδȣ̃ ποιȣμένȣς τὴν πορείαν, καὶ τῷ κινδύνῳ τῶν παρόντων πολεμίων ἡδομένȣς, καὶ χάριν ἔχοντας διὰ τὴν παράλογον ȣ̆τως ἐξ αὐτȣ̃ σωτηρίαν ἀναφανεῖσαν.

3. Τῶν δὲ ȣ̓κ ὀκνȣ́ντων, ἀλλ' ἱεμένων μετὰ σπȣδῆς, ὡς συμπαρόντος αὐτοῖς τȣ̃ θεȣ̃· μαίνεσθαι μὲν αὐτȣ̀ς Αἰγύπτιοι τὸ πρῶτον ἐδόκȣν, ὡς ἐπὶ πρόδηλον ὄλεθρον ὁρμωμένȣς· ἐπεὶ δ' ἑώρων ἀβλαβεῖς ἐπὶ τὸ πολὺ προκεκοφότας, καὶ μηδὲν αὐτοῖς ἐμπόδιον μηδὲ δυσχερὲς ἀπαντῆσαν, διώκειν ὥρμήκεσαν αὐτȣ̀ς, ὡς κἀκείνοις ἠρεμήσοντος τȣ̃ πελάγȣς· καὶ προτάξαντες τὴν ἵππον, κατέβαινον. Ἑβραῖοι δὲ καθοπλιζομένȣς, καὶ τὸν χρόνον εἰς τȣ̃το τρίβοντας, ἔφθασαν ἐπὶ τὴν ἀντιπέραν γῆν ἀπαθεῖς ἐκφυγόντες· ὅθεν καὶ θαρσαλεωτέροις συνέβαινε πρὸς τὴν δίωξιν, ὡς ȣ̓δὲν ȣ̓δ' αὐτῶν πεισομένων, εἶναι. Αἰγύ-

πτιοι

πτιοι δ' ἐλάνθανον, ἰδίαν ὁδὸν Ἑβραίοις γεγενημένην, ἀλλ' ὀχὶ κοινὴν, ἐμβαίνοντες, καὶ μέχρι σωτηρίας τῶν κεκινδυνευκότων πεποιημένην, ἀλλ' ὀχὶ καὶ τοῖς ἐπ' ἀπωλείᾳ τῇ τότων ὡρμημένοις χρήσασθαι θέλοσιν. Ὡς οὖν ὁ τῶν Αἰγυπτίων στρατὸς ἅπας ἐντὸς ἦν, ἐπιχεῖται πάλιν ἡ θάλασσα, καὶ περικαταλαμβάνει, ῥοώδης ὑπὸ πνευμάτων κατιοῦσα, τοὺς Αἰγυπτίους· ὄμβροι τ' ἀπ' οὐρανοῦ κατέβαινον, καὶ βρονταὶ σκληραὶ προσεξαπτομένης ἀστραπῆς, καὶ κεραυνοὶ δὲ κατηνέχθησαν· ὅλως δ' οὐδὲν ἦν τῶν ἐπ' ἀπωλείᾳ κατὰ μῆνιν θεοῦ συμπιπτόντων ἀνθρώποις, ὃ μὴ τότε συνῆλθε· καὶ γὰρ νὺξ αὐτοὺς ζοφώδης καὶ σκοτεινὴ κατέλαβε. Καὶ οἱ μὲν οὕτως ἀπώλοντο πάντες, ὡς μηδ' ἄγγελον τῆς συμφορᾶς τοῖς ὑπολελειμμένοις ὑποστρέψαι.

4. Τοὺς δ' Ἑβραίους οὐδὲ κατασχεῖν ἦν ἐπὶ τῇ χαρᾷ τῆς παραδόξου σωτηρίας καὶ τῇ τῶν πολεμιων ἀπωλείᾳ, βεβαίως νομίζοντας ἠλευθερῶσθαι, τῶν ἀναγκαζόντων δουλεύειν διεφθαρμένων, καὶ τὸν θεὸν οὕτως ἐναργῶς ἔχοντας βοηθοῦντα. Καὶ οἱ μὲν αὐτοί τε τὸν κίνδυνον οὕτως ἐκφυγόντες, καὶ προσέτι τοὺς ἐχθροὺς ἐπιδόντες κεκολασμένους, ὡς οὐκ ἄλλοι τινὲς μνημονεύονται τῶν πρόσθεν ἀνθρώπων, ἐν ὕμνοις ἦσαν καὶ παιδιαῖς ὅλην τὴν νύκτα, καὶ Μωυσῆς ᾠδὴν εἰς τὸν θεὸν, ἐγκώμιόν τε καὶ τῆς εὐμενείας εὐχαριστίαν περιέχουσαν, ἐν ἑξαμέτρῳ τόνῳ συντίθησιν.

4. Ἐγὼ

5. Ἐγὼ μὲν ἓν, ὡς εὗρον ἐν ταῖς ἱεραῖς βίβλοις, ὅτως ἕκαςον τέτων παρέδωκα· θαυμάσει δὲ μηδεὶς τῦ λόγε τὸ παράδοξον, εἰ ἀρχαίοις ἀνθρώποις καὶ πονηρίας ἀπείροις εὑρέθη σωτηρίας ὁδὸς καὶ διὰ θαλάσσης, εἴτε κατὰ βέλησιν θεῦ, εἴτε κατ' αὐτόματον· ὁπότε καὶ τοῖς περὶ τὸν Ἀλέξανδρον τὸν βασιλέα τῆς Μακεδονίας, χθὲς καὶ πρώην γεγονόσιν, ὑπεχώρησε τὸ Παμφύλιον πέλαγος, καὶ ὁδὸν ἄλλην ἐκ ἔχϛσι παρέσχε τὴν δι' αὐτῦ, καταλῦσαι τὴν Περσῶν ἡγεμονίαν τῦ θεῦ θελήσαντος. Καὶ τῦτο πάντες ὁμολογῦσιν οἱ τὰς Ἀλεξάνδρε πράξεις συγγραψάμενοι. Περὶ μὲν ἓν τέτων, ὡς ἑκάςῳ δοκεῖ, διαλαμβανέτω.

6. Τῇ δ' ὑςεραίᾳ τὰ ὅπλα τῶν Αἰγυπτίων, προσενεχθέντα τῷ ςρατοπέδῳ τῶν Ἑβραίων ὑπὸ τῦ ῥῦ, καὶ τῆς βίας τῦ πνεύματος ἐπ' ἐκεῖνο ἐκδιδέσης, ὁ Μωυσῆς, καὶ τῦτο εἰκάσας τῇ τῦ θεῦ προνοίᾳ γεγονέναι, ὅπως μηδὲ ὅπλων ὦσιν ἄποροι, συναγαγὼν, καὶ τέτοις σκεπάσας τὲς Ἑβραίες, ἦγεν ἐπὶ τὸ Σίναιον ὄρος, θύσων ἐκεῖ τῷ θεῷ, καὶ τὰ σῶςρα πληθύος ἀποδώσων, καθὼς αὐτῷ καὶ προείρητο.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0081-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0082-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0083-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0084-5

Ath. II p. 836 Ol. III 554 ad Aristocraten de Chersoneso
Olynth. III 543 p. 429

Veterum oratorum graecorum orationes integrae selectae, una cum earundem versione latina. Cura I. J. Schroederi. Marburgi 1734, 8°.

[illegible]

52 14
J 35

ULB Halle 3
007 104 960

VD18

[illegible]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0086-6

# EXCERPTA

EX

# HISTORICIS GRAECIS

*LIPSIAE*

EX OFFICINA LANGENHEMIA.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794784-p0087-2